




Edizione rara dice il Dottore Edoardo Arwood nella
P. I. della sua biblioteca portatile de' Scrittori Classici sacri
e profani pag 422. L'istesso dice Mauro Boni il Gamba di
edizione rarissima viene similmente chiamata dal Crevenna

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

DIVINA MISSA SANCTI IOANNIS CHRYSOSTOMI



OMNIBVS CHRISTIANAM RELIGIONEM: AC ORTHODOXAM FIDEM STABILI PROPOSITO COLENTIBVS FOELICITATEM.



Vanta sint Religiosissimi viri clementissimi Dei quæ in genus humanum contulit beneficia: quantoq; sit illum visceribus misericordiæ suæ prospiciens: amore: ac pietate prosecutus: non modo ingenii alicuius facultas: aut orationis uis exprimere queat: sed ne mens ipsa quidē cōiectura: aut imaginatione assequi omnino posset. Et prætercuā quod hominem ad sui imaginem: similitudinemq; creauit: ac omnia tam miro ordine creata eius subiecit pedibus: Vnigenitū deniq; filium suū prę nimia sui caritate redimendi ipsius gratia ab antiqua labe peccati nasci ex intemerata virgine voluit. Qui, cum omne patris mādatum complesset: ad cœlos ascensurus cum gloria, ineffabili virtute de morte triūphū gerens: optimus Præceptor, & Magister: Discipulis suis verbo: & exemplo Corroboratis: Veritatis Euāgelium per totum orbem prædicandum præcepit. Hi enim paracleto dictante: incorrupti bilis: indeficientisq; frugis in hominum corda seminaiacientes: omnibus quicunque eos in nomine filii Dei receperunt: in ipsum credentibus: peruium iter ad cœlestis regni gloriam præstitere. Hinc enim: a tā firma: immobiliq; radice generosissime stirpes in ecclesia Orthodoxæ fidei propagantes: tam amplos: patentesq; salutaris doctrinæ ramos omnifariam effuderunt: vt sub illis requiescere cupientes: diuino: ac indeficienti immortalis auræ spiritu assiduæ recreentur. Qui igitur inter tot sanctorum patrum tum latinæ cū





græcæ linguæ veræ doctrinæ monumenta: quæ nos ad solem illum agnoscendum qui occasum non nouit dirigunt vlterius quicquam desiderant: hos uel bonæ mentis haudquaquã compotes esse: vel in veritatem ipsam egregie pertinaces cõtendimus. At mihi: cum inter cæteros Ioannis Chrysostomi scriptis immorari assidue contingat: mirum profecto est: quantum ille diuinus vir in omnibns admirandus appareat: vt vere cœlestis spiritus sub mortali velamine inter homines fuisse censendus sit. Libuit præterea sæpius seriem sanctissimæ missæ quã ille sua in ecclesia celebrãdam instituit: percurrere: qua quidem dici nõ potest: quanta vi mortale hoc: & corruptibile humani generis, superis spiritibus cõciliet: ac Dei & Saluatoris nostri: quod in sui memoriam faciendum præcepit admirabili ordine complectatur. Cum itaq; nemo ad hæc vsq; tempora hæc in latinum sermonem conuertere: aẽ in publicum edere curauerit, Nos: quo tam venerandum opus omnibus christi fidelibus innotescat: nunc quam plurimis efflagitantibus cõuersum publicamus: ab ipso prophanũ vulgus procul arcentes: quod græcos orthodoxæ fidei præcepta seruãtes inscitiæ suæ barathro: parũ piis nominibus: nec quæ fideles deceant prosequitur. Et quo vtriusq; idiomatis studiosis commodo: ac emolumento consultũ sit: nõ modo quæ sacerdos ipse: & Diaconus: ac Chorus peragũt latina græcis in opposita semipagina verbum verbo reddẽtia expressimus: sed cunctos etiam canones qui quæq; suis dicenda locis disponant: adhibere placuit: illi videlicet exẽplari inhærẽtes: quod nuper Romæ a venerandis in græca ecclesia sacræ paginæ magistris archiepiscopo Cypri: & Rhodio Methropolite græcis excudi formis: visum est. Sũt. n. quædam verba: quæ inter latina eandem quã & græca vocem obtinent: quorum in operis fine citatis locis explicationem inspicere cuiq; licebit. Valete omnes fœliciter.


Ο' ΑΓΙΟΣ
Ι'ΩΑ'ΝΝΗΣ
Ο'ΧΡΥΣΟ'
ΣΤΟΜΟΣ.



ΔΙΑΤΑΞΙΣ ΤΗΣ ΘΕΙΑΣ ΙΕΡΟΥΡΓΙΑΣ,

τοῦ ἐν ἁγίοις πατρὸς Ἰωάννου τοῦ Χρυσοστόμου.



Μέλλων ὁ ἱερεὺς τὴν θείαν ἐπιτελεῖν μυσταγωγίαν, ὀφείλει εἶναι προηγουμένως ἐξωμολογημένος, καὶ μετὰ πάντων κατηλλαγμένος, καὶ τὴν καρδίαν ὅσον δύναμις, καθαρὰν τετηρηκὼς ἀπὸ πονηρῶν λογισμῶν, ἐγκρατευσάμενος τὰ ἀφ' ἑσπέρας, καὶ ἐγρηγορηκὼς, μέχρι τοῦ τῆς ἱερουργίας καιροῦ. Τοῦ δὲ καιροῦ ἐπιστάντος, μετὰ τὸ ποιῆσαι τὴν συνήθη τῷ προεστῶτι μετάνοιαν, ἀπέρχεται ἐν τῷ ναῷ, καὶ ἅμα τῷ διακόνῳ, ποιοῦσιν ὁμοῦ πρὸς ἀνατολὰς προσκυνήματα τρία, ἔμπροσθεν τῆς ἁγίας τοῦ σωτῆρος, καὶ τῆς ὑπεραγίας θεοῦ, καὶ εἰς τοὺς δύο χορούς ἀπελθόντες ἀνὰ ἕν. ὅτι δὲ προσκυνοῦσι, λέγουσι μυστικῶς τὴν εὐχὴν ταύτην.

Κύριε ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου, καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ σου βήματι, τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω. ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐλθόντες δὲ εἰς τὸ ἱερατεῖον, λαμβάνουσιν ἕκαστος ἐν ταῖς χερσὶν αὐτῶν τὸ στιχάριον ἑαυτῶν, καὶ ποιοῦσι προσκυνήματα τρία κατὰ ἀνατολάς, λέγοντες καθ' ἑαυτοὺς τό, Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Εἶτα ὁ διάκονος προσέρχεται τῷ ἱερεῖ, ὑποκλίνας τὴν κεφαλὴν, κρατῶν καὶ ἐν τῇ χειρὶ τῇ δεξιᾷ τὸ στιχάριον, σὺν τῷ ὠραρίῳ, λέγων Εὐλόγησον δέσποτα τὸ στιχάριον, σὺν τῷ ὠραρίῳ. Ὁ δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρὸς, λέγει.

Εὐλογητὸς

ORDO DIVINAE MISSE: DIVI PATRIS IOANNIS CHRYSOSTOMI.

DEbens sacerdos diuinum peragere sacrificium, debet esse præsertim confessus, & cum omnibus reconciliatus, & cor pro viribus purum seruans a nequã cogitationibus, ac continentia usus a vesperis, & vigil existens, vsq; ad sacrificii tempus. Tempore vero instante: postq̃ egerit quæ de more a ɔstituto ad hoc fit penitentiã, igrediť tẽplũ: & adiunctus diacono, faciunt simul ad orientem venerationes tres, ante imaginem saluatoris, & sanctissimæ deiparæ, & in duos choros ingressi suum qsq;. veneratiõe aũt pacta, dicũt secreto orationẽ hãc.

DOmine emitte manum tuam de excelso habitaculo tuo, & corrobora me ad propositum ministerium tuum, vt indemnis ad listens tremendo tuo altari, incruentum sacrificium pficiam valeã: Qm̃ tua est potentia, & gloria, in secula seculorum. Amen.

Venientes autem in sacrarium: accipit quisq; in manus suas tunicam suam, & faciunt venerationes tres versus orientem, dicentes intra se hoc. **Deus propitius esto mihi peccatori,** dehinc diaconus accedit ad sacerdotem inclinans caput, tenens & in manu dextera tunicam, cum Horario, dicens. **Benedic domine tunicam, cum Horario.** At Sacerdos benedicens manu, dicit.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὑποχωρεῖ ὁ διάκονος καθ' ἑαυτὸν εἰς ἓν μέρος τοῦ ἱερατείου καὶ ἐνδύεται τὸ στοιχάριον, εὐχόμενος οὕτως.

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ. ἐνέδυσέ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με, καὶ ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν. καὶ ὡς νύμφην περιέθηκέ με κόσμῳ. Καὶ τὸ μὲν ὀράριον ἀσπασάμενος, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ. Ὁ δὲ ἱερεὺς λαβὼν καὶ αὐτὸς τὸ στοιχάριον, εὐλογεῖ αὐτό. καὶ ἀσπασάμενος, ἐνδύεται, λέγων καθ' ἑαυτὸν τὸν ψαλμὸν τὸν πρότερον ἐκτεθέντα, ὅμοιον τῷ διακόνῳ. Καὶ λαβὼν ὁ ἱερεὺς τὰ ἐπιμανίκια, ἐν μὲν τῇ δεξιᾷ χειρὶ λέγει οὕτως.

Ἡ δεξιά σου χεὶρ κύριε δεδόξασται ἐν ἰσχύϊ. ἡ δεξιά σου κύριε ἔθραυσεν ἐχθρούς. καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους. Ἐν δὲ τῇ ἀριστερᾷ χειρὶ λέγει οὕτως. Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με. Εἶτα λαβὼν τὸ ἐπιτραχήλιον, καὶ εὐλογήσας, ἀσπάζεται. καὶ τιθέμενος ἐπὶ τοῦ τραχήλου αὐτοῦ, λέγει.

Εὐλογητὸς ὁ Θεὸς ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ, ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν πώγωνα τὸν Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ. ὡς δρόσος Ἀερμὼν, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών. ὅτι ἐκεῖ ἐνετείλατο κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

Καὶ λαβὼν τὴν ζώνην, καὶ εὐλογήσας ἀσπάζεται καὶ λέγει.

Εὐλογητὸς ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν, καὶ ἐκχέων τὴν χάριν αὐτοῦ. πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὸ ὑπογονάτιον λαβὼν, εἰ ἔστι πρωτοσύγγελος τῆς

μεγάλης

BEnedictus deus noster: vbiq; nunc,& semper & in secula seculorum. Amen.

Dehinc recedit diaconus seorsum in vnā partē tabernaculi:& induitur tunicas orans sic.

EXultabit anima mea in domino: induit me vestimento salutari: & tunicam leticiæ circundedit me:& tāquā spōso iposuit mihi mitrā:& vt spōsæ iposuit mihi ornamentū.Et Horar iū quidē exosculās imponit sinistro humero: sacerdos vero capiens & ipse tunicam: benedicit ipsam: & osculans induitur dicens intra se psalmum qui prius dictus est:similiter vt diaconus: Et accipiens sacerdos manipulum in dextera quidem manu dicit sic.

DExtera tua manꝰ dn̄e glorificata ē in virtute: dextera tua domine confregit inimicos, & plenitudine gloriæ tuæ compresisti aduersarios. At in sinistra manu dicit sic. Manus tuæ fecerunt me: & plasmauerunt me. Dehinc capiens stolam & benedicens osculatur: & imponens super collum suum dicit.

BEnedictus deus qui effudit gratiam suam super sacerdotes eius: vt vnguentum super caput quod descendit in barbam barbam Aaron, quod descendit in oram vestimenti eius vt ros hermon quod descendit in montem sion:qm̄ ibi mandauit dominus benedictionem: vitam vsq; in seculum. Et accipiens cingulum:& benedicēs osculatur & ait.

BEnedictus deus qui cinxit me potentia: & effundit gratiam suam: vbiq; nunc: & semper: & in secula seculorum. Amen.

Dehinc subgeniale capiens si est prepositus

μεγάλης ἐκκλησίας, ἢ ἄλλος τις ἔχων ἀξιότητά τινα, καὶ εὐλογήσας αὐτὸ, καὶ ἀσπασάμενος, λέγει.

Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατὲ, τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου. καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε ἕνεκεν ἀληθείας, καὶ πραότητος, καὶ δικαιοσύνης. καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἶτα λαβὼν τὸ φελώνιον, καὶ εὐλογήσας ἀσπάζεται. καὶ λέγει.

Οἱ ἱερεῖς σου κύριε ἐνδύσονται δικαιοσύνην. καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται. πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἀπελθόντες εἰς τὴν πρόθεσιν, νίπτουσι τὰς χεῖρας, λέγοντες.

Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου. ὧν ἐν χερσὶν αἱ ἀνομίαι. ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην. λύτρωσαί με κύριε, καὶ ἐλέησόν με. ὁ πούς μου ἔστη ἐν εὐθύτητι. ἐν ἐκκλησίαις εὐλογήσω σε κύριε. Ὁ δὲ διάκονος εὐτρεπίζει τὰ ἱερὰ, τὸν μὲν ἅγιον δίσκον ἐν τῷ μέρει τῷ ἀριστερῷ, τὸ δὲ ποτήριον ἐν τῷ δεξιῷ, καὶ τὰ ἄλλα σὺν αὐτοῖς. Εἶτα προσκυνήματα τρία ἔμπροσθεν τῆς προθέσεως ποιήσαντες, λέγουσιν ἕκαστος τὸ, Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με. καὶ τὸ, Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου τῷ τιμίῳ σου αἵματι, τῷ σταυρῷ προσηλωθεὶς, καὶ τῇ λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις σωτὴρ ἡμῶν

magnæ ecclesiæ : vel alius q̄s habēs dignitatē aliquā & benedicēs ipsum : ac exósculans : dicit.

ACcingere gladio tuo super fœmur tuum potentissi- me. specie tua : & pulchritudine tua : & intende : & procede : & regna : propter veritatem : & mansue tudinē : & iustitiā : & deducet te mirabiliter dextera tua. vbiq; nunc : & semper : & in sæcula sæculo- rum. A men, Posthæc capiens casulā : & benedicens exosculatur : & ait.

SAcerdotes tui domine induantur iustitia : & iusti tui exultatione exultabunt : vbique : nunc : & semper : & in sæcula sæculorum : A men.

Dehinc procedentes ad prothesim : lauant ma- nus : dicentes.

LAuabo inter inocentes manus meas : & circundabo altare tuum domine : vt audiam vocem lau- dis tuæ : & enarem vniuersa mirabilia tua : do- mine dilexi decorē domus tuæ : & locū habitatiōis gloriæ tuæ. Ne perdas cum impiis animam meam : & cū viris sanguinū vitā meā. in quorū mani- b⁹ iniqtates : dextera eoꝝ repleta ē munerib⁹ : ego āt in inocētia mea igressus sū : libera me dñe : & misere mei : pes meus stetit in directo in ecclesiis benedicam te domine. At Diaconus preparat sacra : sanctā quidem patenam ad partem sinistram : calicem vero ad de- xteram : & alia cum ipsis. Dehinc venerationem ter ante prothesim peragentes : dicunt quilibet : hoc.

Deus propitius esto mihi peccatori : & miserere mei. Et hoc. Redemisti nos a maledictione legis : precioso tuo sanguine cruci affixus : & lan- cea perforatus immortalitatē adduxisti hominib⁹ sal

τῆς ἡμῶν δόξασον. Καὶ ποιεῖ ὁ ἱερεὺς εὐλογητόν. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων. Ἀμήν. Εἶτα λαμβάνει ὁ ἱερεὺς ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὴν προσφοράν, ἐν δὲ τῇ δεξιᾷ τὴν ἁγίαν λόγχην, καὶ σφραγίζων σὺν αὐτῇ ἐπάνω τῆς σφραγίδος τῆς προσφορᾶς, τρὶς λέγει. Εἰς ἀνάμνησιν τοῦ κυρίου, καὶ Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ εὐθὺς πήγνυσι τὴν ἁγίαν λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγίδος, καὶ ἀνατέμνων λέγει. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. Ἐν δὲ τῷ ἀριστερῷ ὁμοίως πηγνὺς τὴν ἁγίαν λόγχην, λέγει. Καὶ ὡς ἀμνὸς ἄμωμος ἐναντίον τοῦ κείροντος αὐτόν, ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν δὲ τῷ ἄνω μέρει τῆς σφραγίδος πηγνὺς τὴν ἁγίαν λόγχην, λέγει. Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. Ἐν δὲ τῷ κάτω μέρει τῆς σφραγίδος πάλιν πηγνὺς τὴν ἁγίαν λόγχην, λέγει. Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; Ὁ δὲ διάκονος ἐφ' ἑκάστῃ ἀνατομῇ, λέγει. Τοῦ κυρίου δεηθῶμεν. Κρατῶν καὶ τὸ ὠράριον αὐτοῦ ἐν τῇ δεξιᾷ. Μετὰ ταῦτα λέγει ὁ διάκονος. Ἔπαρον δέσποτα. Καὶ ὁ ἱερεὺς ἐμβαλὼν τὴν ἁγίαν λόγχην ἐκ πλαγίου τοῦ δεξιοῦ μέρους τῆς προσφορᾶς, ἐπαίρει τὸν ἅγιον ἄρτον, λέγων οὕτως. Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων. Ἀμήν. Καὶ τιθεὶς αὐτὸν ὕπτιον ἐν τῷ ἁγίῳ δίσκῳ, Εἰπόντος τοῦ διακόνου, Θῦσον δέσποτα. Ὁ ἱερεὺς θύει αὐτὸ σταυροειδῶς, λέγων. Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, καὶ σωτηρίας. Καὶ στρέφει τὸ ἕτερον μέρος τὸ ἔχον ἐπάνω τὸν σταυρόν, καὶ λέγει ὁ διάκονος. Νύξον δέσποτα. Ὁ δὲ ἱερεὺς νύττων αὐτὸν ἐν τῷ δεξιῷ μέρει μετὰ τῆς ἁγίας λόγχης, λέγει. Καὶ εἷς

τῶν στρατιωτῶν

uator nr̃ gloria tibi. Et facit sacerdos benedictionẽ. Benedictus deus noster vbiq̃: nunc: & semper: & in secula seculorum. Amen. Posthęc sumit sacerdos in sinistra quidem manu panem: dextera vero sanctam lanceam: & crucem signat ipsa super sigillum: quod in pane est ter dicens. In memoriam domini: & dei: ac saluatoris nostri Iesu Christi. Et statim infigit sanctam lanceã: in dexterã partem: Sigilli: & scindens dicit. Tanquam ouis ad occisionẽ duct⁹ est. In sinistra vero similiter infigẽs sanctam lanceam: dicit. Et vt agnus mansuetus corã tondente se obmutescens: sic non aperiet os suũ. In superiori vero parte sigilli rursus infiges sanctam lanceam, dicit. In humilitate eius iudicium eius sublatum est. In inferiori vero parte sigilli rursus infigens sanctam lanceam, dicit. Generationem vero ei⁹ quis enarrabit? At diaconus in qualibet incisiõe: dicit, Dominum deprecemur. Et tenes Horarium suum in dextera: Deinde dicit diaconus. Attolle domine. Et sacerdos immittens sanctam lanceam ex obliquo dexterę partis panis attollit Sanctũ panẽ: dicens in hũc modũ. Qm̃ tollit᷑ de terra vita eius: ubiq̃: nunc: & semper: & in secula seculorum: Amen. Et ponens ipsum supinũ in sancta patenam: dicente diacono. Sacrifica domine. Sacerdos sacrificat illũ i modũ crucis dicit. Sacrificat᷑ agnus dei qui tollit peccata mundi pro mundi vita: & salute. Et conuertit aliam partẽ quę habet sursum crucẽ: & dicit diaconus. Aperias domine. At sacerdos aperiens ipsum a dextera parte cum sancta lancea: dicit: Et vnus

militum

τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξεν, καὶ εὐθέως ἐξῆλθεν αἷμα, καὶ ὕδωρ. Ὁ δὲ διάκονος ἐγχέει ἐν τῷ ἁγίῳ ποτηρίῳ ἐκ τοῦ νάματος, καὶ ὕδατος. πρότερον πρὸς τὸν ἱερέα εἰπών. Εὐλόγησον δέσποτα. Καὶ ὁ ἱερεὺς εὐλογεῖ. Εἶτα λαβὼν ὁ ἱερεὺς τὴν δευτέραν προσφορὰν, λέγει.

Εἰς τιμὴν, καὶ μνήμην τῆς ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας. ἧς ταῖς πρεσβείαις πρόσδεξαι κύριε τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον. Καὶ αἴρων μερίδα μετὰ τῆς ἁγίας λόγχης, τίθησιν ἐξ ἀριστερῶν τοῦ ἁγίου ἄρτου. Εἶτα λαβὼν τὴν τρίτην προσφορὰν, λέγει.

Τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου. Τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων ἀποστόλων. Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν ἱεραρχῶν, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ θεολόγου, Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου, Κυρίλλου, Νικολάου τοῦ ἐν μύροις, καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν. Τοῦ ἁγίου ἀποστόλου πρωτομάρτυρος, καὶ ἀρχιδιακόνου Στεφάνου. Τῶν ἁγίων μεγάλων μαρτύρων Γεωργίου, Δημητρίου, Θεοδώρου, καὶ πάντων τῶν ἁγίων μαρτύρων. Τῶν ὁσίων θεοφόρων πατέρων ἡμῶν, Ἀντωνίου, Εὐθυμίου, Σάββα τοῦ ἡγιασμένου, Ὀνοφρίου, Ἀρσενίου, Ἀθανασίου τοῦ ἐν τῷ ἄθω. καὶ πάντων τῶν ὁσίων. Τῶν ἁγίων, καὶ ἰαματικῶν Ἀναργύρων, Κοσμᾶ, καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος, καὶ Ἑρμολάου, Σαμψὼν, καὶ Διομήδους, Θαλλαλέου, καὶ Τρύφωνος, καὶ τῶν λοιπῶν. Τῶν ἁγίων δικαίων θεοπατέρων Ἰωακεὶμ, καὶ Ἄννης. Τοῦ ἁγίου ὁ δεῖνος τοῦ κατὰ τὴν ἡμέραν δηλονότι. καὶ πάντων τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ θεός. Καὶ οὕτως αἴρων τὴν μερίδα, τίθησιν αὐτὴν ὑποκάτω ἐν τῷ ἀριστερῷ.

militum lancea latus eius aperuit: & statim exiuit sanguis: & aqua. Diaconus vero fundit in sanctum calicem vinum: & aquam prius sacerdoti dicens. Benedic domine. Et Sacerdos benedicit. Dehinc capiens Sacerdos secundum panem: dicit.

IN honorē: & memoriā: plusquā bñdictæ: gloriosæ reginæ nostræ deiparæ: & semp virginis Mariæ: cuius precibus accipe domine sacrificium istud ad super cœleste tuum altare. Et eleuans particulam cum sancta lancea: ponit a sinistra: & sancti panis: postea capiens tertium panem dicit.

H onorādi: gloriosi prophetæ præcursoris: & baptistæ Ioānis. Sctōrū gloriosoꝝ: & p quā bñdictoꝝ Apostoloꝝ. Sctōrū patrū nostroꝝ sacerdotū principū: Basilii magni: Gregorii Theologi: Ioannis Chrysostomi: Athanasii: Cyrilli: Nicolai in myris. & omnium sanctorum sacerdotum: Sancti Apostoli primi martyris: & Archidiaconi Stephani: sanctorum magnoꝝ martyrū: georgii: Demetrii: Theodori: & omnium sanctorū martyrū. piorū diuini numinis patrum nostrorū Antonii: Euthimii: Sabbe sanctificati. Enophrii: Arsenii: Athanasii in monte Atho: & omnium piorum. Sanctorum medentium absq; argento: Cosmæ: & Damiani: Cyri: & Ioannis: Panteleonis: & Hermolai: Sansonis: & Diomedis: Thalalei: & Triphonis: & reliquorū: Sanctorum Iustorum dei parentum Ioachim: & Annæ. Sancti illius diei cuiuslibet: & omnium Sanctorum: quorum precibus protege nos deus. Et sic auferens particulam: ponit ipsam subtus ad sinistram

ἐν τῷ ἀριστερῷ μέρει. Εἶτα λαβὼν ἑτέραν προσφορὰν, λέγει. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν. τοῦ δείνου. τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος. Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν ἀειμνήστων κτιτόρων τῆς ἁγίας μονῆς ταύτης. Ἐνταῦθα καὶ ζώντων καὶ τεθνεώτων, ὧν ἐθέλει ὁ ἱερεὺς μνημονεύει ὀνομαστί. Καὶ πάντων τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, τῇ σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων πατέρων, καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε κύριε συγχώρησον. Καὶ αὐτὸς αἴρων τὴν μερίδα, τίθησιν αὐτὴν ὑποκάτω ἐν τῷ ἀριστερῷ μέρει. Εἶτα λαβὼν ὁ διάκονος τὸ θυμιατήριον, καὶ τὸ θυμίαμα, λέγει πρὸς τὸν ἱερέα. Εὐλόγησον δέσποτα τὸ θυμίαμα. Καὶ λέγει. Τοῦ κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς λέγει τὴν εὐχήν.

Θυμίαμά σοι προσφέρομεν Χριστὲ ὁ Θεὸς εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἣν προσδέξαι δέσποτα εἰς τὸ ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερόν σου θυσιαστήριον, καὶ ἀντικατάπεμψον ἡμῖν πλούσια τὰ ἐλέη σου, καὶ τοὺς οἰκτιρμούς σου, καὶ δώρησαι ἡμῖν αὐτὰ τοῖς δούλοις σου τοῖς ἐπικαλουμένοις τὸ ὄνομά σου τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ διάκονος. Τοῦ κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς θυμιάσας τὸν ἀστερίσκον, τίθησιν αὐτὸν ἐπάνω τοῦ ἄρτου, καὶ λέγει. Καὶ ἐλθὼν ὁ ἀστὴρ ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον κείμενον. πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ διάκονος. Τοῦ κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς θυμιάσας τὸ πρῶτον κάλυμμα, σκεπάζει τὸν ἅγιον ἄρτον, καὶ λέγει. Ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο κύριος δύναμιν, καὶ περιεζώσατο. καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε εἰς

μακρότητα

ad finistram partem : postea capiens alium panem dicit. Pro Episcopo nostro. Tali.
Honorandis presbyteris : in Christo diaconibus : & omni sacerdotali ordine: & pro cõmẽoratõe: & remissione pctõꝝ qui semp recolẽdi sũt cõditoꝝ sancti habitaculi huius. Hic & viuorum: & mortuoꝝ quorum vult sacerdos memoriam agit nominãdo: Et oium q̃ in spe resurrectiõis vitæ æternę: qui in tui cõicatiõe requiescũt orthodoxis patribus: & fratribus nostris piissime domine veniam indulge. & ita tollens particulam ponit ipsam subtus in sinistra parte. dehinc capiens Diaconus thuribulum : & incensum dicit versus sacerdotem. Benedic domine incensum. & dicit Dñm deprecemur: & sacerdos dicit orationẽ.

Incẽsum tibi offerimus christe deus in odorẽ suauitatis spiritualis: quam suscipe domine in sanctum : & super celeste : ac intellectuale tuum altare : & repẽde nobis opes misericordię tuę: & miseratiões tuas & largire nobis ipsas seruis tuis inuocantibus nomen tuum patris : & filii & sancti spiritus : vbiq; : nunc : & semper : & in sæcula sæculorum : Amen. Diaconus : Dñm deprecemur Et sacerdos incensato asterisco : ponit ipsum super panem : & dicit. Et veniens stella astitit desuper ubi erat puer positus : ubiq; : nunc & semper : & in sæcula sæculorum. Amen. Diaconus. Dominum deprecemur. Sacerdos incensato primo velamĩne vellat sanctum panem : & ait. Dominus regnauit decorem indutus est: indutus est dñs fortitudinem: & pręcinxit se. Etenim firmauit orbem terrę qui nõ cõmouebitur. Domũ tuã decet sanctitudo dñe in

μακρότητα ἡμερῶν, πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Ὁ διάκονος. Τοῦ κυρίου δεηθῶμεν. Κάλυψον δέσποτα. Καὶ ὁ ἱερεὺς θυμιῶν τὸ δεύτερον κάλυμμα, καὶ σκεπάζων τὸ ἅγιον ποτήριον λέγει. Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου Χριστὲ, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ. πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Ὁ διά. Τοῦ κυρίου δεηθῶμεν. Σκέπασον δέσποτα. Καὶ ὁ ἱερεὺς θυμιῶν τὸν ἀέρα, καὶ σκεπάζων ἀμφότερα, λέγει. Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ὁ θεὸς ἡμῶν. πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Εἶτα δήσαντες ἀμφότεροι τὰς χεῖρας, καὶ προσκυνήσαντες τρὶς εὐλαβῶς λέγουσιν. Εὐλογητὸς ὁ θεὸς ἡμῶν ὁ οὕτως εὐδοκήσας. πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Ὁ διάκονος ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων λέγει. Τοῦ κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς προθέσεως.

Θεὸς ὁ θεὸς ἡμῶν ὁ τὸν οὐράνιον ἄρτον τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν κύριον ἡμῶν, καὶ θεὸν ἰησοῦν χριστὸν ἐξαποστείλας σωτῆρα, καὶ λυτρωτὴν, καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην. καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, μνημόνευσον ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων. Ἐκφώνως. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ μετὰ τὴν εὐχὴν θυμιᾷ τὴν πρόθεσιν, καὶ ποιεῖ ἀπόλυσιν λέγων. Δόξα σοι Χριστὲ ὁ θεὸς ἡ ἐλπὶς ἡμῶν. Ὁ διάκονος. Δόξα

πατρὶ

longitudine dierum: vbiq; nunc: & semper & in secula sæculorum. Amen. Diaconus. Dominũ deprecemur. Vella domine. Et sacerdos incensato secundo velamine: & velans sanctum calicem dicit. Operuit cœlos virtus tua Christe: & laudis tuæ plena est terra. vbiq; nũc: & semper: & in sæcula sæculorum. Amen. Diaconus. Dominũ deprecemur. Vella domine. Et sacerdos incensato aere: & vellans vtraq;. dicit. Protege nos. Subumbra allarum tuarum deus noster: vbiq; nunc: & semper: & in sæcula: sæculorum. Amen. Postea compressis vterq; manibus adorantes cum veneratiõe dicunt. Benedictus deus noster q sic complacuit: vbiq; nunc: & semper: & in sæcula sæculorum. Amen. Diaconus in oblatione preciosorũ munerũ dicit. Dñm depcemur. Sacerdos orationem oblationis.

Deus: deus noster qui celestem panem cibum totius mundi: dominum nostrum: & deum: iesum christũ misisti saluatorẽ: & redẽptorẽ & benefactorem: benedicentem: & sanctificantem nos: tu benedic oblationem istam: & suscipe ipsam: ad supercœleste tuum sacrarium: memento vt bonus & clemens offerentium: & pro quibus obtulerunt: & nos indemnes custodias in celebratione diuinorũ tuorũ misteriorũ. Cũ voce. qm̃ sanctificatũ & glorificatũ est honorabile: & magnificũ nomẽ tuũ patris: & filii: spiritus sancti: nunc: & semper & in sæcula sæculorum: Amen. Et completa oratiõe incẽsat prothesim: & facit absolutionẽ dicẽs. Gloria tibi christe Deus spes nr̃a. Diaconus. Gloria

 patri: & filio

πατρὶ, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ ἱερεύς.

Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρός. τῶν ἐν ἁγίοις πατέρων ἡμῶν. ἰωάννου ἀρχιεπισκόπου κωνσταντινουπόλεως τοῦ χρυσοστόμου. καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι ἡμᾶς ὡς ἀγαθὸς θεὸς, καὶ φιλάνθρωπος. Ὁ χορός. Ἀμήν.

Καὶ οὕτω λαβὼν ὁ διάκονος τὸ θυμιατήριον, ἀπέρχεται, καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν κύκλῳ σταυροειδῶς, λέγων καθ᾽ ἑαυτόν. Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς θεὸς, ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστὲ μετὰ πατρὸς, καὶ πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος. Καὶ λέγει τὸν πεντηκοστὸν ψαλμόν. Ἐλέησόν με ὁ θεός. Καὶ οὕτω θυμιάσας τό, τε ἱερατεῖον, καὶ τὸν ναὸν ὅλον, εἰσέρχεται αὖθις εἰς τὸ ἅγιον βῆμα, καὶ θυμιάσας αὖθις τὴν ἁγίαν τράπεζαν, καὶ τὸν ἱερέα, τὸ μὲν θυμιατήριον ἀποτίθησιν ἐν τῷ ἰδίῳ τόπῳ. αὐτὸς δὲ προσέρχεται τῷ ἱερεῖ. καὶ στάντες ὁμοῦ πρὸ τῆς ἁγίας τραπέζης, καὶ προσκυνοῦντες καθ᾽ ἑαυτοὺς, καὶ εὐχόμενοι, λέγουσι τό.

Βασιλεῦ οὐράνιε παράκλητε τὸ πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγὸς, ἐλθὲ καὶ ἐνσκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν. καὶ τό, κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὰ ἑξῆς ἅπαξ. Εἶτα, ἀσπάζεται ὁ μὲν ἱερεὺς τὸ εὐαγγέλιον. ὁ δὲ διάκονος τὴν ἁγίαν τράπεζαν. Εἶτα, ὁ διάκονος ὑποκλίνας τὴν κεφαλὴν τῷ ἱερεῖ, κρατῶν καὶ τὸ ὠράριον ἑαυτοῦ τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρὸς λέγει. Καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ. Δέσποτα εὐλόγησον. καὶ ὁ ἱερεύς

patri: & filio: & spiritui sancto: nunc: & semper & in sæcula sæculorum. Amen. Sacerdos.

CHristus verus Deus noster intercessionibus intemeratæ eius matris: a sancti patris nostri Ioannis archiepiscopi cōstantinopolitani chrysostomi: & oīum sanctorum: misereat & nostri: vt bonus deus, & clemens. Chorus. Amen.

Et hic capiens diaconus thuribulum recedit: & incensat honorabilem mēsam ambiens in crucē dicit īτra se: In monumēto cū corpe: in iferno uero cū aia vt Deus: in paradiso uero cum latrone & in throno eras christe cum patre: & spiritu: omnia implēs incircunscriptus. Et dicit quinquagesimū psalmum. Miserere mei Deus. Et dum incensat & sacrarium: & templum totum: ingreditur rursus in scūm tabernaculū: & icēsando rursus scām mēsam: & sacerdotem: thuribulum quidem deponit in suo loco: ipse vero accedit ad sacerdotē: & stantes simul āte sanctam mensam: & venerantes pro se quisq;: & orantes dicunt. hoc. &c.

REx cœlorum paraclete: spiritus ueritatis: qui ubiq; es: & omnia imples: qui es thesaurus bonorum: & vitæ largitor: veni & habita in nobis: & purga nos ab omni macula: & salua optime animas nostras: Et hoc: Dñe labia mea aperies. Et quæ sequuntur semel. Dehinc osculatur sacerdos quidē euangeliū: diaconus vero sanctam mensam: postea diaconus inclinans caput sacerdoti tenens: & horarium suum tribus digitis dexteræ manus: dicit. Tempus faciendi domino. Domine benedic. Et

ὁ ἱερεὺς σφραγίζων αὐτὸν, λέγει. Εὐλογητὸς ὁ θεὸς
ἡμῶν πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων. Ἀμήν. Ὁ διάκονος. Εὖξαι ὑπὲρ ἐμοῦ δέσποτα.
Ὁ δὲ ἱερεὺς. Μνησθείησόν σου κύριος ὁ θεὸς ἐν τῇ βασιλείᾳ
αὐτοῦ, πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Καὶ ὁ διάκονος. Ἀμήν. Ἀμήν. Ἀμήν. Καὶ προ-
σκυνήσαντες τρὶς λέγουσι καθ' ἑαυτούς. Κύριε τὰ χεί-
λη μου ἀνοίξης. καὶ τὰ ἑξῆς. Καὶ μετὰ τοῦτο ἐξέρχεται
ὁ διάκονος τοῦ βήματος, καὶ προσκυνήσας τρὶς λέγει ἐκφώνως.
Εὐλόγησον δέσποτα. ὁ δὲ ἱερεὺς ἐκφώνως λέγει.

Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς, καὶ τοῦ
υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.
Ὁ διάκονος ἐκφώνως. Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶ-
μεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διάκονος. Ὑπὲρ
τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυ-
χῶν ἡμῶν τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε
ἐλέησον. Ὁ διά. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου
εὐσταθείας τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων
ἑνώσεως, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά.
Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως εὐλα-
βείας, καὶ φόβου θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ κυρίου δεη-
θῶμεν. Ὁ χορός. κύριε ἐλέησον. Ὁ διάκονος. Ὑπὲρ
τοῦ ἀρχιεπισκόπου ἡμῶν. Ὁ διανὸς. Τοῦ τιμίου πρε-
σβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου,
καὶ τοῦ λαοῦ, τοῦ κυρίου δεηθῶμεν. ὁ χορός. κύριε
ἐλέησον. ὁ διά. Ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ θεοφυ-
λάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου, καὶ τοῦ
στρατοπέδου αὐτῶν, τοῦ κυρίου δεηθῶμεν. ὁ χορός.
κύριε ἐλέησον. ὁ διά. Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ
ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν, καὶ πολέ-
μιον, τοῦ

Sacerdos benedicens ipsum : dicit Benedictus Deus: noster vbiq; : nunc : & semper : & in sæcula sæculorum. Amen. Diaconus Ora pro me domine. Sacerdos vero: Recordet tui dominus deus in regno suo: ubiq; nunc: & semper : & in sæcula sæculorum. Et Diaconus Amen. Amen. Amẽ. Et venerationẽ peragentes ter dicunt intra se. Domine labia mea aperies. Et reliqua : & posthæc egreditur Diacon' e tabnaculo: & adorans ter dicit cum voce. Benedic domine. At sacerdos cũ voce dicit.

Benedictum regnum patris : & filii : & spiritus sancti : nunc : & semper : & in asæculsæculorum. Chorus. Amen. Diaconus cum voce. In pace dominum deprecemur. Chorus. Domine miserere. Diaconus. Pro pace quæ sursum est : & salute animarum nostrarum: dñm deprecemur. Chorus. Domine miserere. Diaconus. Pro pace totius mundi stabilitate sanctarum dei ecclesiarum: & pro omnium: vnitate: dñm depcemur. Cho. Dñe misere. Diacon'. Pro sancta domo ista: & pro his qui cũ fide: innocentia: & timore dei ingrediunt in ipsam: dominũ deprecemur. Chorus. Domine miserere. Diaconus. Pro archiepiscopo nostro. N. Venerandis præsbyteris : in christo diaconibus : vniuerso clero : & populo: dominum deprecemur. Chorus. Domine miserere. Diaconus. Pro piissimis : & deuotissimis regibus nostris : toto palatio & exercitu ipsorum: dominum deprecemur. Chorus. Domine miserere. Diaconus. Vt debellet : & subiiciat sub pedes ipsorum omnem inimicum: & ho

stem: dñm

μων, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον.

Εὐχὴ ἀντιφώνου πρώτου μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος, αὐτὸς δέσποτα κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν, καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου, καὶ τοὺς οἰκτιρμούς σου. Τοῦ ἱερέως λέγοντος τὴν εὐχὴν μυστικῶς ἐν τῷ βήματι, ἐν τῷ αὐτῷ καιρῷ ὁ διάκο. λέγει ἔξω τοῦ βήματος τὰ εἰρηνικά. Ὁ διάκονος. Ἀντιλαβοῦ σῶσον ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ παραθώμεθα. Ὁ χορός. Σοὶ κύριε. Ἐκφώνως ὁ ἱερεύς. Ὅτι πρέπει σοι πᾶσα δόξα τιμή, καὶ προσκύνησις τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

stem: dñm deprecemur. Chorus. Domine miserere. Diaconus. Pro sancto hoc habitaculo: tota vrbe: regione: & cum fide habitantibus in ipsis dominum deprecemur. Chorus. Domine miserere. Diaconus. Pro salubritate aeris: fertilitate fructuum terræ & temporibus pacificis: dñm deprecemur. Chorus. Dñe miserere. Diaconus. Pro nauigantibus: viatoribus: egrotis: laborantibus: captiuis: & salute ipsorum: dñm deprecemur. Chorus. Domine miserere. Diaconus. Vt liberet nos ab omni tribulatione: ira: periculo: & necessitate dominum deprecemur. Chorus. Domine miserere.

Oratio Antiphone primæ secreto.

Domine de⁹ nr̃: cui⁹ potẽtia imaginatiõe3 exupat & gl'ia incõprehensibilis: cuius misericordia imméſa & pietas ineffabilis: tu domine per viscera misericordiæ tuæ respice super nos: & super sanctã domum istam: & fac nobiscum: & orantibus nobiscum: opes misericordiæ tuæ: & miserationis. Sacerdote dicente orationem secreto in tabernaculo eodem tẽpore diaconus dicit extra tabernaculũ pacifica.

Diaconus. Suscipe: salua miserere: & conserua nos deus tua gratia. Chorus. Domine miserere. Diaconus. Sãctissime intemeratæ plusquã benedictæ gloriosæ reginæ nr̃æ deiparæ: & semp virginis Mariæ: cũ omnibus sanctis memoriã recolentes nosmetipsos: & inuicem: & omnem vitã nostrã Christo Deo committamus. Chorus. Tibi domine. Cũ voce sacerdos. Quoniã decet te oĩs gloria: honor: & veneratio: patrem: & filium: & spiritum sanctum: nunc: & semper: & in sæcula: sæculorum. Chorus.

Amen. Post

Ἀμήν. Μετὰ τὰ εἰρηνικὰ ὁ χορὸς ψάλλει τὸ πρῶτον ἀντίφωνον, ἢ τὰ τυπικά, εἰ ἔστι κυριακή, εἰ δ᾽ οὖν τῆς ἡμέρας.

Εὐχὴ ἀντιφώνου δευτέρου μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου, σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Σημείωσαι καὶ ἐνταῦθα ὡς καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ εἰ ἔστι διάκονος, εἰ οὐκ ἔστιν. Ὁ διάκονος. Ἔτι καὶ ἔτι τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διάκονος. Ἀντιλαβοῦ σῶσον ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα. Ὁ χορός. Σοὶ κύριε. Ἐκφώνως ὁ ἱερεύς. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. Νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν. Μετὰ τὰ εἰρηνικὰ τὰ δεύτερα ψάλλει ὁ χορὸς τὸ δεύτερον ἀντίφωνον, ἢ τὰ τυπικὰ τὰ δεύτερα, εἰ ἔστι κυριακή, εἰ δ᾽ οὖν τῆς ἡμέρας.

Εὐχὴ ἀντιφώνου τρίτου μυστικῶς.

Ὁ τὰς κοινὰς ταύτας, καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσί, καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος, αὐτός, καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον. χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν

αἰώνιον

Amen. Post pacifica: chorus cantat primam antiphonā: aut typica: si est dies dominicus: & si nō: dici, Oratio Antiphonæ secundæ secreto.

Domine deus noster: salua populum tuum: & benedic hereditati tuæ: plenitudinem ecclesiæ tuæ custodi: sanctifica diligentes decorem domus tuæ: tu ipsos viciſſim glorifica diuina tua potentia: & ne derelinquas nos sperantes in te. Sciendum & hic est; vt & in oratione: primo: si est diaconus: aut non est. Diaconus. Item: & item dominum deprecemur. Chorus. Dñe miserere. Diaconus. Suscipe: salua miserere: & conserua: nos deus tua gratia. Chorus. Domine miserere. Diaconus. Sãctiſſimæ intemeratæ plusquã benedictæ gloriosæ reginę nostræ deiparæ: & semp virginis Mariæ: cum omnibus sanctis: memoriã recolẽtes nosmetipsos: & inuicẽ: & omnem vitam nostrã christo deo comittimus. Chorus. Tibi domine. Cum voce sacerdos. Quoniam tua potentia: & tuum est regnum: & potestas: & gloria: patris: & filii & spiritus sancti: nunc: & semper: & in sæcula: sæculorum. Chorus. Amen. Post pacifica secunda cantat chorus secundam antiphonam: aut Typica secunda: si est dies dominicus: si nō: dici; Oratio antiphonæ secundæ secreto.

Qui communes has: & concordes nobis largitus es supplicatiões: & q duobus: aut trib⁹ ɔueniẽtib⁹ in nomine tuo: petitiones tribuere pollicitus es tu & nunc seruorum tuorum petitiones ad vtilitatem expleas: tribuens nobis in præsenti sæculo cognitionem tuæ veritatis: & in futuro vitam:

[illegible]

αἰώνιον χαριζόμενος. Σημείωσαι καὶ ἐνταῦθα ὡς, καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ καὶ δευτέρᾳ, εἰ ἔστι διάκονος, εἰ οὐκ ἔστιν.
Ὁ διά. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διάκονος. Ἀντιλαβοῦ σῶσον ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χορὸς. Κύριε ἐλέησον. Ὁ διά. Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ παραθώμεθα. Ὁ χορὸς. Σοὶ κύριε. Ἐκφώνως ὁ ἱερεὺς. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορὸς. Ἀμήν. Ἐνταῦθα ὁ χορὸς ψάλλει τὸ τρίτον ἀντίφωνον, ἢ τὴν τριτέκτην. εἰ δὲ καὶ ἔστι κυριακὴ, ψάλλει τοὺς μακαρισμοὺς, καὶ τοῦ ἁγίου τῆς ἡμέρας.
Ὅταν δὲ ἔλθῃ ὁ χορὸς εἰς τὸ δόξα πατρὶ, ὁ ἱερεὺς καὶ ὁ διάκονος ἔμπροσθεν τῆς ἁγίας τραπέζης ποιοῦσι προσκυνήματα τρία. Εἶτα λαβὼν ὁ ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον, δίδωσι τῷ διακόνῳ, καὶ οὕτως ἐξελθόντες διὰ τῆς θύρας τοῦ βορείου μέρους, ἔρχονται εἰς τὸν συνήθη τόπον, καὶ ποιοῦσι τὴν μικρὰν εἴσοδον, καὶ κλίνουσιν ἀμφότεροι τὰς κεφαλὰς, καὶ τοῦ διακόνου εἰπόντος ἠρέμα. Τοῦ κυρίου δεηθῶμεν. Ἅμα καὶ τὸ ὠράριον κρατοῦντος τοῖς τρισὶ δακτύλοις, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τῆς εἰσόδου.

Εὐχὴ τῆς εἰσόδου τοῦ ἁγίου εὐαγγελίου μυστικῶς.

Δέσποτα κύριε ὁ θεὸς ἡμῶν ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα, καὶ στρατιὰς ἀγγέλων, καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ἐκφώνως.

ὅτι πρέπει

æternam concedens Sciendum & hic est: ut & in oratiōe prima: & secunda: si est diaconus: Aut nō est. Diacon.⁹ Etiā: atq; ēt in pace dn̄m dep̄cemur. Chor⁹. Dn̄e miserere. Diaconus. Suscipe: salua: miserere: & conserua nos deus tua gratia. Chorus. Domine miserere. Diaconus. Sāctissimæ: intemeratæ: plusq; benedictæ: gl'iosę Reginę nostrę: deiparæ & sp virginis Mariæ: cum omnibus sanctis memoriā recolētes: nosmetipsos: & inuicem: & omnē vitam nostrā christo deo cōmittamus. Chorus. Tibi dn̄e. Cum voce. Sacerdos. Quoniam bonus: & pius Deus es & tibi gloriam damus: patri: & filio: & spiritui sancto: nunc: & semper: & in sæcula sæculorum. Chorus. Amen. Hic chorus cantat. Tertiam antiphonam: aut tritectum. At si est dominicus: cantat beatificationes: & sancti illius diei. Cū aūt peruenerit chorus ad gloria p̄ri: sacerdos: & diaconus ante sanctam mensam faciunt venerationes tres. Dehinc capiens sacerdos sanctum euangeliū porrigit diacono: & sic egredientes per hostium borealis partis: veniunt ad consuetum locum: & faciunt paruum ingressu: & inclinant ambo capita: & diacono dicente submisse: Dominum deprecemur. Et simul horarium continens tribus digitis: dicit sacerdos orationem ingressus. Oratio ingressus sancti euangelii. Secreto.

Domine: domine deus noster: qui cōstituisti in cœlis ordines: & exercitus angelorum: & archangelorū ad ministerium tuæ gloriæ: fac cum ingressu nostro ingressum sancto℞ angelo℞ fieri ꝯcelebrātiū nobiscū & simul glorificantium tuam bonitatem. Cum voce.

Quoniā decet

Ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Τῆς εὐχῆς δὲ τελεσθείσης, λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα. Εὐλόγησον δέσποτα τὴν ἁγίαν εἴσοδον.

Δεικνύων ἅμα, καὶ πρὸς ἀνατολὰς μετὰ τοῦ ὠραρίου.

Καὶ ὁ ἱερεὺς ποιῶν σταυρὸν κατὰ ἀνατολὰς, λέγει.

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου. πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ διάκονος προσέρχεται πρὸς τὸν ἐπίσκοπον, καὶ ἀσπάζεται τὸ εὐαγγέλιον, εἰ πάρεστιν. εἰ δ' οὔ, ἀσπάζεται ὁ ἱερεύς. Καὶ τοῦ τελευταίου δὲ τροπαρίου πληρωθέντος, εἰσέρχεται ὁ διάκονος εἰς τὸ μέσον, καὶ στὰς ἔμπροσθεν τοῦ ἱερέως, ἀνυψοῖ μικρὸν τὰς χεῖρας, καὶ δεικνύων τὸ ἅγιον εὐαγγέλιον, λέγει ἐκφώνως. Σοφία ὀρθοί. Εἶτα προσκυνήσας αὐτός τε, καὶ ὁ ἱερεὺς κατόπισθεν αὐτοῦ, εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα. καὶ ὁ μὲν διάκονος ἀποτίθησι τὸ ἅγιον εὐαγγέλιον ἐν τῇ ἁγίᾳ τραπέζῃ. Οἱ δὲ ψάλλοντες λέγουσι τὰ συνήθη τροπάρια, καὶ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου. καὶ ὅτε ἔλθωσιν εἰς τὸ ὕστερον, ὁ διάκονος πρὸς τὸν ἱερέα λέγει, κλίνων τὴν ἑαυτοῦ κεφαλὴν, καὶ τὸ ὠράριον ἐν τῇ χειρὶ κρατῶν. Εὐλόγησον δέσποτα τὸν καιρὸν τοῦ τρισαγίου. Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτὸν, λέγει.

Ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν. πάντοτε νῦν καὶ ἀεί. Τοῦ δὲ τροπαρίου πληρωθέντος, ἔρχεται ὁ διάκονος ἐγγὺς τῶν ἁγίων θυρῶν, καὶ δείκνυσι τὸ ὠράριον τοῖς ἐκτὸς λέγων ἐκφώνως. Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν. Τοῦ δὲ χοροῦ ψάλλοντος τὸ τρισάγιον, ὁ ἱερεὺς εὔχεται μυστικῶς.

Εὐχὴ τοῦ τρισαγίου μυστικῶς.

Ὁ θεὸς ὁ

Qm̄ decet te omnis gloria: honor: & veneratio: p̄rem: & filium: & spiritum sanctum: nunc: & semper: & in sæcula: sæculorum. Chorus. Amen.

Oratione vero completa: dicit diaconus versus Sacerdotem. Benedic domine sanctum ingressum. Ostendens simul & versus orientem cum horario: & sacerdos faciens crucem versus orientem: dicit. Benedictus ingressus sanctorum tuorũ: vbiq;: nũc: & semper: & in sæcula sæculorum. Amen.

Dehinc diaconus procedit ad episcopum: & osculatur euangelium: si adest: si vero non osculatur sacerdos, Et vltimo autem tropario completo: ingreditur diaconus in medium: & stans ante sacerdotem lauat modice manus: & ostendens sanctum euangelium: dicit cũ voce. Sapiẽtia recta. Dehic venerationẽ pagẽs: ip̄e & sacerdos postergum eius: ingreditur in sanctũ tabernaculũ: & diaconus quidem se ponit sanctum euãgelium in sancta mensa: At cantores dicunt consueta troparia: & qui per diem fuerit sancti: & cum peuenerint ad vltimũ: diacon⁹ versus sacerdotẽ dicit: inclinans suum caput: & Horarium in manu continens. Benedic domine tempus trisagii. Et sacerdos benedicens ipsum: dicit. Quoniam sanctus est deus noster: vbiq;: nũc: & semp. At Tropario completo: adhibet se diaconus propinq̄ sancto hostio: & ostendit horarium qui extra sũt: dicens cum voce. Et in sæcula: sæculorum Chorus. Amen. choro Psalente trisagium: sacerdos orat. Secreto.

Oratio trisagii secreto.

Deus sanctus

Hoc intelligo [illegible] [illegible] [illegible] [illegible] sacerdotes [illegible] dic [illegible] [illegible]

[illegible] trisagiũ hoc ... [illegible] sanctus deus sanctus fortis sanctus et immortalis miserere nobis



Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, ὁ κτίσας τὸν ἄνθρωπον κατ᾿ εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας, ὁ διδοὺς αἰτοῦντι σοφίαν, καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν, ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινούς, καὶ ἀναξίους δούλους σου, καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν, καὶ δοξολογίαν προσάγειν, αὐτὸς δέσποτα πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου, συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε, καὶ ἀκούσιον, ἁγίασον ἡμῶν τὰς ψυχάς, καὶ τὰ σώματα, καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. πρεσβείαις τῆς ἁγίας θεοτόκου, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ᾿ αἰῶνός σοι εὐαρεστησάντων. Ἐκφώνως. Ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Ταύτης δὲ τελεσθείσης, καὶ τοῦ χοροῦ ψάλλοντος τὸ δόξα, καὶ νῦν, ψάλλουσιν, καὶ αὐτοὶ δὲ, ὅ τε ἱερεὺς καὶ διάκονος τὸ τρισάγιον. ποιοῦντες ὁμοῦ, καὶ προσκυνήματα τρία ἔμπροσθεν τῆς ἁγίας τραπέζης. Εἶτα λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα. Κέλευσον δέσποτα. Καὶ ἀπέρχονται ἐν τῇ καθέδρᾳ. Καὶ ὁ ἱερεὺς λέγει ἀπερχόμενος. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. Ὁ δὲ διάκονος. Εὐλόγησον δέσποτα τὴν ἄνω καθέδραν. Καὶ ὁ ἱερεύς. Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς

βασιλείας

Deus sanctus: qui in sanctis requiescis: qui ter sancta voce a seraphin: celebraris: & a cherubin glorificaris: & ab omni supercelesti potestate adoraris: qui non ente: ad esse produxisti vniuersa: qui creasti hominē: ad imaginē tuam: & similitudinem: & omni tua gratia decorasti: q dedisti petēti sapīa;: & prudētiā: & nō despexisti peccātem: sed constituens ad salutem penitentiā: qui dignatus es nos humiles: & indignos famulos tuos: etiam in hora hac assistere in conspectu gloriæ sancti tui altaris: & debitam tibi venerationem: & glorificationem proferre. Tu dñe suscipe etiam ex ore nostro qui peccatores sumus: ter sctūm hymnum: & respice nos in bonitate tua: remitte nobis omne delictum: voluntariū: & inuolūtariū: sanctifica nr̄as animas: & corpora: & cōcede nobis in æquitate seruire omnibus diebus vitæ nostræ. precibus sanctissime deiparæ: & omnium sanctorum qui a sæculo tibi complacuerunt. Cum voce Quoniā sanctus est deus noster: & tibi gloriam damus patri: & filio: & spiritui sancto: nunc: & semper: & in sæcula: sæculorum. Chorus. Amen.

His completis: & choro psallente: gloria: & nūc: cātāt & ipsi videlicet sacerdos: & diaconus ter sanctum. facientes simul venerationes tres: ante sanctam mensam. Dehinc dicit diaconus versus sacerdotem. Iube domine & procedunt ad sedem: & sacerdos dicit procedens. Benedictus qui venit in nomine domini. At diaconus. Benedic domine superam cathedram. Et sacerdos. Benedictus es super throno gloriæ regni tui:

βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ. πάντοτε,
νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ τρισαγίου, ὁ διάκονος
ἐλθὼν ἔμπροσθεν τῆς θύρας, λέγει. Πρόσχωμεν.
Καὶ ὁ ἱερεύς. Εἰρήνη πᾶσιν. Ὁ διά. Σοφία.
Καὶ ὁ ἀναγνώστης αὖ χετοι Ἀλληλούϊα. Ψαλμὸς τῷ
Δαβίδ. Καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν. Ὁ ἀνα-
γνώστης τὸ προκείμενον τοῦ ἀποστόλου, καὶ τῆς ἡμέρας.
Καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν. Καὶ τοῦ ἀποστό-
λου πληρωθέντος, ἐκφωνεῖ ὁ ἱερεύς. Εἰρήνη σοί.
Ὁ διά. Σοφία. Καὶ ὁ χορὸς. Τὸ, Ἀλληλούϊα.
ψαλμὸς τῷ Δαβίδ. Καὶ λαβὼν ὁ διάκονος τὸ θυμια-
τήριον καὶ τὸ θυμίαμα πρόσεισι τῷ ἱερεῖ, λέγων.
Εὐλόγησον δέσποτα τὸ θυμίαμα. Τοῦ δὲ ἱερέως εὐλο-
γοῦντος, καὶ τὴν εὐχὴν εἰπόντος ταύτην. Θυμίαμά σοι
προσφέρομεν Χριστὲ ὁ θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευμα-
τικῆς, ἀντικατάπεμψον ἡμῖν τὴν θείαν χάριν τοῦ πανα-
γίου σου πνεύματος. πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Ἀμήν. Θυμιᾷ ὁ διάκονος τὴν
ἁγίαν τράπεζαν κύκλωθεν, καὶ τὸ ἱερατεῖον ὅλον, καὶ τὸν
ἀέρα. Καὶ μετὰ τὸ τὸ θυμιατήριον ἀποθέμενος,
ἔρχεται πρὸς τὸν ἱερέα. καὶ ὑποκλίνας αὐτῷ τὴν κεφα-
λὴν, κρατῶν καὶ τὸ ὠράριον σὺν τῷ ἁγίῳ εὐαγγελίῳ
ἄκροις τοῖς δακτύλοις, δηλονότι ἐν ἐκείνῳ τῷ τόπῳ
τῆς ἁγίας τραπέζης, λέγει. Εὐλόγησον δέσποτα τὸν
εὐαγγελιστὴν τοῦ ἁγίου ἀποστόλου, καὶ εὐαγγελιστοῦ τοῦ δε.
Ὁ δὲ ἱερεὺς σφραγίζων αὐτὸν, λέγει. Ὁ θεὸς διὰ πρεσ-
βειῶν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου, καὶ εὐαγγελιστοῦ τοῦ δε,
Δώῃ σοι ῥῆμα εἰς τὸ εὐαγγελίσασθαι τῷ εὐαγγελιζομένῳ
δυνάμει πολλῇ. Καὶ ὁ διάκονος εἰπὼν τὸ Ἀμήν. Καὶ
προσκυνήσας μετ᾽ εὐλαβείας τὸ ἅγιον εὐαγγέλιον, καὶ
ἐξελθὼν

regni tui: qui sedes super cherubin: vbique nunc: & semper: & in sæcula sæculorum. Amen. Et post completum trisagium: diaconus accedens ante hostium: dicit. Attendamus Et sacerdos. Pax omnibus. Diaconus. Sapientia. Et lector incipit. Alleluia. Psalmus Dauid. Et diaconus rursus. Attendamus. Lector titulum epistole: & diei. Et diaconus rursus. Attendamus. Et epistola completa: pronunciat sacerdos. Pax tibi. Diaconus. Sapientia. Et chorus. Hoc: Alleluia. Psalmus Dauid. Et accipiens diaconus thuribulum: & incensum: accedit ad sacerdotem: dicens. Benedic domine incensum. At sacerdos benedicit: & orationem dicit. Talem incensum tibi offerimus domine deus nr̃: in odorẽ suauitatis spiritualis: remitte nobis diuinam gratiam sanctissimi tui spiritus: vbiq; nunc: & semper: & in sæcula: sæculorum. Amen. Incensat diaconus sanctam mensam circũiens: & sacrarium totum: & aerem. Et post hæc thuribulo deposito accedit ad sacerdotem: & inclinans sibi caput: tenens & horarium cum sancto euangelio extremis digitis: videlicet in illo loco sanctæ mensæ: dicit. Benedic domine euangelistam sancti apostoli: & euangelistæ huius. At sacerdos benedicens ipsum. ait. Deus precibus sancti gloriosi apostoli: & euangelistæ huius: det tibi verbum ad annunciandum: annunciaturo cum magna ui: & diaconus dicit: hoc. Amen. Et reuerentiã exhibens deuote sancto euangelio: &

ἐξελθὼν διὰ τῶν ἁγίων θυρῶν, προπορευομένων, καὶ λαμπά-
δων, καὶ θυμιατῶν, ἔρχεται καὶ ἵσταται ἄνω ἐν τῷ ἄμβωνι,
ἢ ἐν τῷ τεταγμένῳ τόπῳ. Ὁ δὲ ἱερεὺς ἱστάμενος ἔμ-
προσθεν τῆς ἁγίας τραπέζης, βλέπων πρὸς δυσμὰς, ἐκφω-
νεῖ. Σοφία ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου.
Καὶ ὁ διάκονος, Ἐκ τοῦ κατὰ τοῦδε ἁγίου εὐαγγελίου τὸ
ἀνάγνωσμα. Χο. δόξα σοι κε. καὶ ὁ ἱερεύς. Πρόσχωμεν. Τοῦ δὲ
εὐαγγελίου πληρωθέντος, λέγει πρὸς τὸν διάκονον ὁ ἱερεύς.
Εἰρήνη σοι. Καὶ ὁ διάκονος ἐλθὼν ἕως τῶν ἁγίων θυ-
ρῶν, ἀποδίδωσι τὸ ἅγιον εὐαγγέλιον τῷ ἱερεῖ. Εἶτα ἐν
τῷ συνήθει τόπῳ στὰς, ἄρχεται οὕτως. Εἴπωμεν πάντες
ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας εἴπωμεν.
Ὁ χορός. Κε ἐλέησον. Ὁ διά. Κε παντοκράτωρ ὁ θς
τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.
Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διά. Ἐλέησον ἡμᾶς ὁ θεὸς
κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου κύριε, ἐπάκουσον.
Ὁ χο. Κε ἐλέησον. Ὁ διά. Ἔτι δεόμεθα ὑπὲρ τῶν
εὐσεβεστάτων, καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, κρά-
τους, νίκης, διαμονῆς, εἰρήνης, ὑγίας, σωτηρίας αὐτῶν, καὶ
τοῦ κύριον τὸν θεὸν ἡμῶν ἐπιπλέον συνεργῆσαι κατευοδῶσαι
αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν
πάντα ἐχθρὸν, καὶ πολέμιον. Ὁ χορός. Κε ἐλέησον.

Ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν
πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς
κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς
σου κατάπεμψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου,
τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος. Ἐκφώ-
νως. Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις. καὶ
σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ
ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν
αἰώνων.

egrediens per sanctū hostiū: præcedētibus etiā lampadibus: & thuribulo: venit & ascendit pulpitum aut in statuto loco. At sacerdos cōsistens ante sanctam mensam respiciens versus occidentē prōnūciat. Sapiētia recta audiamus sanctum euāgelium. Et diaconus. Ex euāgelio secundū .N. sancti euāgelii lectio. Cho. Gloria tibi dñe. & sacerdos. Attēdam⁹. At euāgelio completo dicit versus diaconum sacerdos. Pax tibi. Et diaconus veniens vsq; ad sanctam ianuam: reddit sanctum euangeliū sacerdoti: Deinde in consueto loco consistēs incipit sic Dicamus omnes: ex tota anima: & ex tota mente dicamus. Chorus. Dñe miserere. Diaconus. Dñe omnipotēs de⁹ patrum nostrorum quesumus te: exaudi: & miserere. Chorus Dñe miserere. Diaconus. Miserere nr̄i deus sm magnā misericordiā tuā: rogamus te dñe exaudi. Chorus. Dñe miserere. Diaconus. Etiā quesumus p piissimis: et deuotis regibus nostris: potentia: victoria permāsione pace: sanitate salute ipsorū: & vt dñs: & deus noster in maius cooperet: & dirigat ipsos in omnibus: & subiiciat sub pedes ipsorum omnē inimicum: & hostem. Chorus. Dñe miserere.

At sacerdos dicit orationem istam: secreto.

Domine deus noster promptam hanc supplicationem suscipe a seruis tuis: & miserere nostri secundū plenitudinē misericordie tue: & miſationes tuas mitte super nos: & sup omnem populum tuum: qui accipit a te opes misericordiæ tuæ. Cum voce. Quoniam misericors & clemens deus es: & tibi gloriam damus: patri: & filio: & sancto spiritui: nunc: & semper: & in sæcula: sæculorum

αἰώνων. **Ὁ χορός.** Ἀμήν. **Ὁ διά.** Εὔξασθε οἱ κατηχούμενοι τῷ κυρίῳ. **ὁ χο.** Κύριε ἐλέησον. **Ὁ διάκονος.** Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν, ἵνα ὁ κύριος αὐτοὺς ἐλεήσῃ. **Ὁ χο.** Κε ἐλέησον. **Ὁ διάκονος.** Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας. **Ὁ χορός.** Κε ἐλέησον. **Ὁ διά.** Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης. **Ὁ χο.** Κε ἐλέησον. **Ὁ διά.** Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ. **Ὁ χορός.** Κε ἐλέησον. **Ὁ διάκονος.** Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτοὺς ὁ θς τῇ σῇ χάριτι. **Ὁ χο.** Κε ἐλέησον. **Ὁ διά.** Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ κῳ κλίνατε. **Ὁ χορός.** Σοὶ κύριε. **Εὐχὴ κατηχουμένων πρὸ τῆς ἁγίας ἀναφορᾶς, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.**

Κύριε ὁ θεὸς ἡμῶν ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου υἱὸν, καὶ θεὸν τὸν κύριον ἡμῶν ἰησοῦν χν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοὶ τὸν ἑαυτῶν αὐχένα. καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ, καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ. **Ἐκφώνως.** Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πρς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνς. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. **Ὁ χο.** Ἀμήν. **Μετὰ τὴν ἐκφώνησιν λαμβάνει ὁ ἱερεὺς τὸ εἰλητὸν, καὶ κατὰ τὸ σύνηθες ἐξαπλώνει.** **Ὁ διά.** Ὅσοι κατηχούμενοι προσέλθετε, οἱ κατηχούμενοι προσέλθετε, ὅσοι κατηχούμενοι προσέλθετε, μήτις τῶν κατηχουμένων, ὅσοι πιστοὶ, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ

sæculoꝝ. Chorus. Amen. Diaconus. Rogate cate-
chumini dominũ. Chorus Dñe miserere. Diaconus.
Fideles: pro catechuminis deprecemur: vt dominus
ipsorũ misereatur. Chorus. Dñe miserere. Diaconus.
Infundat in ipsos verbum veritatis. Chorus.
Domine miserere. Diaconus. Aperiat ipsis euan-
gelium iustitiæ. Chorus Domine miserere. Diaconus
Vniat ipsos sanctæ suæ catholicæ: & apostoli-
cæ ecclesiæ. Chorus. Dñe miserere. Diaconus.
Salua: miserere: suscipe: & conserua ipsos
Deus tua gratia.. Chorus. Dñe miserere. Diaconus.
Catechumini capita vestra domino humiliate.
Chorus. Tibi dñe. Oratio catechuminũ ante sanctã
oblationem quam sacerdos dicit secreto.

Domine deus noster: qui in altis habitas: & humilia respicis: qui salutem generi humano misisti vnigenitum filium tuũ: & deum dñm nostrũ iesum christum: respice in seruos tuos catechuminos inclinantes tibi ipsorum ceruicem: & dignos facias ipsos in tempore oportuno lauacri regenerationis: remissionis peccatorum: & indumenti incorruptionis: vnias ipsos sanctæ tuæ catholicæ: & apostolicæ ecclesiæ: & connumera ipsos cum electo tuo grege. Cum voce. Vt & ipsi simul nobiscũ glorificẽt venerabile: & magnificũ nomẽ tuũ patris: & filii: & spiritus sancti: nunc: & semper & in sæcula: sæculorum. Chorus. Amen. Post pronunciationem. Accipit sacerdos corporale: & vt moris est. explicat. Diaconus. Quicunq; catechumini accedite catechumini accedite: quicunq; catechumini accedite: neq; catechuminus qcũq; fideles sũt: ẽt: atq; ẽt in

pace domini

εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον.

Εὐχὴ πιστῶν πρώτη μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν. ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

Εὐχαριστοῦμέν σοι κύριε, ὁ θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι, καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, πρόσδεξαι ὁ θεὸς τὴν δέησιν ἡμῶν. ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις, καὶ ἱκεσίας, καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου, καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως, καὶ ἀπροσκόπτως ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ, καὶ τόπῳ, ἵνα εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος. Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικά, ἤτοι ἔξω τοῦ ἁγίου βήματος ἐν τῷ συνήθει τόπῳ. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ὁ χορός. Κύριε ἐλέησον. Ὁ δια. Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ δια. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ δια. Ὑπὲρ πλεόντων ὁδοιπορούντων νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ δια. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς κινδύνου, καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ δια. Ἀντιλαβοῦ σῶσον ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ δια. Σοφία. Ὁ ἱερεὺς ἐκφώνως.

Ὅτι πρέπει

pace dominum deprecemur. Chorus. Dñe miserere.
Oratio fidelium prima post explicationẽ corporaliũ Quam sacerdos secreto dicit.

GRatias agimus tibi domine deus virtutũ:qui dignos fecisti nos assistere nunc quoq; sancto tuo altari:& supplices esse miserationibus tuis pro nostris reatibus: & populi ignorantia: suscipe deus preces nostras: fac nos dignos fieri vt offeram᷒ tibi supplicatiões: & depcatiões:& sacrificia incruenta pro cuncto populo tuo & fac sufficere nos quos posuisti in ministerio tuo hoc in virtute spiritus tui sancti irreprobate: & inoffense: in puro testimonio conscientiæ nostræ: inuocare te in omni tempore:& loco:ut exaudiẽs nos beni gnus nobis ad sis in multitudine tuę bonitatis. Præcante sacerdote: diaconus dicit pacifica: si adest:extra sanctum tabẽrnaculum:in cõsueto loco. Item:atq; item:in pace dominũ deprecemur. Chorus. Dñe miserere. Diaconus. Pro sancto habitaculo isto:tota vrbe:Regione:& fidelium habitantiũ in ipsis:dominũ deprecemur. Chorus. Dñe miserere. Diaconus. Pro temperie aeris: fertilitate frugum terræ:& tẽporibus pacificis:dñm deprecemur. Cho. Dñe miserere. Diaconus. Pro nauigantib᷒ viatorib᷒. egrotis: laborantibus: captiuis: & salute ipsorũ:dominũ deprecemur. Chorus. Dñe miserere. Diaconus. Pro liberatiõe nostra ab omni tribulatiõe: ira:periculo:& necessitate: dñm depcemur. Chorus. Dñe miserere. Diaconus. Suscipe: salua: miserere: & conserua nos deus tua gratia. Chorus. Dñe misere. Diaconus. Sapiẽtia: Sacerdos Cũ voce.

Ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν.

Εὐχὴ πιστῶν δευτέρα, ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

Πάλιν, καὶ πολλάκις σοὶ προσπίπτομεν, καὶ σοῦ δεόμεθα ἀγαθὲ, καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς, καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς, καὶ πνεύματος, καὶ δώῃς ἡμῖν ἀνένοχον, καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. χάρισαι δὲ ὁ θεὸς, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου, καὶ πίστεως, καὶ συνέσεως πνευματικῆς. δὸς αὐτοῖς πάντοτε μετὰ φόβου, καὶ ἀγάπης λατρεύουσί σοι, ἀνενόχως, καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων, καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικὰ ἔξω τοῦ ἁγίου βήματος. Ὁ ἱερεὺς ἐκφώνως.

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπομεν τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Μετὰ τὴν ἐκφώνησιν λέγει τὴν εὐχὴν καθ' ἑαυτὸν, καὶ οἱ μὲν ψάλται ψάλλουσι τὸν χερουβικὸν λεγόμενον ὕμνον.

Οἱ τὰ χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες. πᾶσαν νῦν βιωτικὴν ἀποθώμεθα μέριμναν. ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξώμεθα. ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Ὁ δὲ διάκονος προσελθὼν τῷ ἱερεῖ μετὰ τοῦ θυμιάματος, θυμιᾷ τὴν ἁγίαν τράπεζαν σταυροειδῶς κύκλῳ, καὶ τὸ ἱερατεῖον, καὶ τὸν ἱερέα, καὶ μετὰ ταῦτα ἵσταται ἐν τῇ ἀριστερᾷ τοῦ ἱερέως εὐλαβῶς.

Qm̃ decet te oĩs gloria:honor: & veneratio: patrem: & filium:& spiritum sanctum:vbiq;:nunc:& semper: & in sæcula: sæculorum. Chorus. Amen.

Oratio fideliũ secunda: quã sacerdos secreto dicit.

ITerum:& sæpius: tibi procumbentes: & te rogamus bone: & clemens: vt respiciens ad preces nostras purges nostras animas,& corpora ab omni ĩqnatiõe carnis:& spiritus: & ĩdulgeas nobis absq; reatu:& reprobatiõe:vti ad sistamus sctõ tuo altari concede deus: & orantibus nobiscũ pfectũ vitæ:& fidei:ac itelligẽtiæ spiritualis tribue ipsis vbiq; cũ timore:& amore seruiẽtibus tibi absq; reatu:ac repbatõe pticipes fieri sctõꝝ tuoꝝ: mysteriorum:& sup cœlestis tui regni dignos effici.

Orante sacerdote: diaconus dicit pacifica: extra sanctum tabernaculum. At sacerdos cum voce.

VTi a potentia tua: vbique custoditi tibi gloriam demus: patri: & filio: & spiritui sancto:nunc: & semper: & in sæcula sæculorum. Chorus. Amen. Post pronunciationẽq; dicit orationem intra se: & cantores quidem canunt cherubicum hnnc hymnum.

QVi cherubin mystice repræsentamus: & viuificanti Trinitati ter sanctum hymnũ canimus:oẽm nũc vitalem deponamus curam: vt regem vniuersorum suscipiamus: cui ab angelicis inuisibiliter inseruitur ordinibus. Alleluia: Alleluia: Alleluia. At Diaconus accedens ad Sacerdotem cum thuribulo:incensat sanctam mensam: in crucẽ: circumiens:& sacrarium:& sacerdotem: & posthec consistit a sinistra sacerdotis cum veneratione.

Εὐχή, ἣν λέγει ὁ ἱερεὺς μυστικῶς τοῦ χερουβικοῦ ᾀδομένου.



Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις, καὶ ἡδοναῖς προσέρχεσθαι, ἢ προσεγγίζειν, ἢ λειτουργεῖν σοι βασιλεῦ τῆς δόξης, τὸ γὰρ διακονεῖν σοι, μέγα, καὶ φοβερὸν, καὶ αὐταῖς ταῖς ἐπουρανίοις δυνάμεσιν, ἀλλ' ὅμως διὰ τὴν ἄφατον, καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης, καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς δεσπότης τῶν ἁπάντων. σὺ γὰρ μόνος κύριε ὁ θεὸς ἡμῶν δεσπόζεις τῶν ἐπουρανίων, καὶ τῶν ἐπιγείων ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν σεραφὶμ κύριος, καὶ βασιλεὺς τοῦ ἰσραήλ. ὁ μόνος ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος. σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν, καὶ εὐήκοον, ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν, καὶ ἀχρεῖον δοῦλόν σου. καὶ καθάρισόν μου τὴν ψυχὴν, καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον, καὶ ἄχραντόν σου σῶμα, καὶ τὸ τίμιον αἷμα. σοὶ γὰρ προσέρχομαι κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ μὴ δὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. σὺ γὰρ εἶ ὁ προσφέρων, καὶ προσφερόμενος, καὶ προσδεχόμενος, καὶ διαδιδόμενος χριστὲ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Πληρωθείσης δὲ τῆς εὐχῆς, εὔχεται ὁμοῦ τὸν χερουβικὸν ὕμνον, καὶ τὸ, οἱ τὰ.

Oro quã dicit sacerdos secreto dũ cherubicũ decãtat

NEmo dignus est eorum qui alligati sũt carnalibus desi deriis:ac voluptatibus:accedere: aut attingere: aut ministrare tibi rex gloriæ: nam inseruire tibi magnũ:& tremẽdũ est,ẽt ipsis cœlestibus potestatib⁹. Sed tamẽ propter ineffabilẽ:immẽsam͡q tuã clemẽti am sine immutatione:aut variatiõe factus es hõ:& sa cerdos noster esse statuisti: & ministerii hu/ius:ac incruenti sacrificii celebrationem tradidisti nobis vt dominus omnium:tu enim solus dñe deus noster imperas cœlestibus: & terrenis: qui super throno cherubico insides: qui seraphin dominaris: & es rex israel:qui solus sanctus es: & in sanctis re/quiescis:te igitur exoro solum bonum:& facilẽ ad au diendum: respice super me peccatorẽ:& inutilem ser/uum tuum: & munda meam animam: & cor: a' conscientia praua: & fac idoneum me virtute sancti tui spiritus: indutum sacerdotii gratiã: assistere sanctæ tuæ huic mensæ: & conse/crare sanctũ:& ĩmaculatũ tuũ corpus:& p̃ciosum san guinem. Ad te enim eccedo inclinãs meam ceruicẽ: & deprecor te ne auertas faciem tuam a me: neu reprobes me a filiis tuis: sed fac dignum offerri tibi a me peccatore & indi/gno seruo tuo hæc munera. tu enim es offerens: & oblatus: & assumptus: & distri/butus christe deus noster: & tibi gloriam da/mus:cũ carẽte pricipio tuo p̃re:& scissimo ac optimo & viuificante tuo spiritu: nunc: & semper: & in sæcula: sæculorum. Amen. Completa vero oratione:proferunt simul cherubicum hymnum: & L.psalmum

τὸν πεντηκοστὸν ψαλμὸν μυστικῶς, καὶ προσκυνοῦντες τρίς, ἀπέρχονται ἐν τῇ προθέσει, προπορευομένου τοῦ διακόνου μετὰ θυμιάματος, καὶ θυμιάσας τὰ ἅγια καθ᾽ ἑαυτὸν εὐχόμενος τό, Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. πρὸς τὸν ἱερέα, λέγει. Ἔπαρον δέσποτα.

Ὁ δὲ ἱερεὺς ἄρας τὸν ἀέρα, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ τοῦ διακόνου, λέγων. Ἐν εἰρήνῃ ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν κύριον, εὐλογήσαι σε κύριος ἐκ σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὸν ἅγιον δίσκον ἐπὶ τῆς κορυφῆς αὐτοῦ ὁ διάκονος μετὰ προσοχῆς λαμβάνει. Ὁ ἱερεὺς αἴρων τὸ ἅγιον ποτήριον, καὶ ὁ διάκονος κρατῶν ἐν τῇ δεξιᾷ αὐτοῦ ἐν δακτύλῳ τὸ θυμιατήριον, καὶ διερχόμενοι τὸν ναὸν, εὔχονται ἀμφότεροι. Ὑπὲρ πάντων λέγοντες. Μνησθείη κύριος ὁ θεὸς πάντων ἡμῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Καὶ πολλάκις τοῦτο λέγουσιν, ἕως ἂν πληρωθῇ ἡ μεγάλη εἴσοδος. Εἰσερχόμενοι δὲ τὸ ἅγιον βῆμα, λέγουσιν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. Εἶτα ὁ ἱερεὺς ἀποτιθεὶς τὰ ἅγια, λέγει. Ὁ εὐσχήμων ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἰλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Εἶτα ἀποτίθησι τὰ καλύμματα ὁ ἱερεὺς ἀπὸ τοῦ ἁγίου δίσκου καὶ τοῦ ἁγίου ποτηρίου, τὸν δὲ ἀέρα λαβὼν ἀπὸ τῶν ὤμων τοῦ διακόνου, καὶ θυμιάσας αὐτὸν ἐπισκεπάζει δι᾽ αὐτοῦ τὰ ἅγια. Εἶτα ὁ διάκονος θυμιᾷ τὰ ἅγια τρίς, λέγων οὕτως.

Ἀγάθυνον

quinquagesimū psalmum secreto: & adorantes ter: procedunt ad prothesim: præcedente diacono cum thuribulo: & incensando sacras res intra se orans: hoc: Deus propitius esto mihi peccatori. ad sacerdotem dicit. Eleua domine. At sacerdos eleuans sudarium: imponit sinistro humero diaconi: dicens: In pace. Extollite manus vestras in sancta: & benedicite dominum: benedicat te dominus ex sion: qui fecit cœlum: & terram. vbiq;: nunc: & semper: & in sæcula: sæculorum. Amen. Deinde: sanctam patenam super caput suum diaconis cum supplicatiōe accipit. At sacerdos accipiēs sanctum calicem: & diaconus tenens in dextera eius vno digito thuribulum: & circumeuntes templum orat vterq;. pro omnibus dicentes. Recordetur dominus deus omniū nostrū in regno suo: vbiq;: nunc: & semper: & in sæcula: sæculorum. Chorus. Amen. Et sæpius hoc dicunt: quousq; compleatur magnꝰ igressus. Ingrediētes vero in scūm tabernaculū dicūt. Benedictus qui venit in nomine domini. Dehinc sacerdos deponens sanctas res: dicit. Vir timoratus Ioseph de ligno deponens intemeratum corpus tuū: sindone mūda inuoluēs: & cū aromatibus in monumēto nouo sepeliēs: deposuit Dehinc deponit velamina sacerdos: a sancta patena: & sancto calice: Et sudarium tollens ab humeris diaconi: & incensando ipsum: velat cum ipso sanctas res. Deinde: diaconus incensat sanctas res ter: dicens: sic.

Benigne

Ἀγάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν σιών.

Εἶτα εὐχόμενοι ὁ. Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, Ἔμπροσθεν τῆς ἁγίας τραπέζης προσκυνοῦσι τρίς. Καὶ ὁ μὲν ἱερεὺς ἵσταται. ὁ δὲ διάκονος τὸν αὐχένα κλίνας πρὸς τὸν ἱερέα λέγει.

Εὖξαι ὑπὲρ ἐμοῦ δέσποτα. Ὁ δὲ ἱερεὺς λέγει. Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. Ὁ δὲ διάκονος λέγει. Τὸ αὐτὸ ἅγιον πνεῦμα συλλειτουργήσει ὑμῖν καὶ ἡμῖν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Τότε καὶ ὁ διάκονος λέγει. Μνήσθητί μου δέσποτα ἅγιε. Ὁ δὲ ἱερεὺς λέγει. Μνησθείησου κύριος ὁ θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ διά. Ἀμήν. Ἀμήν. Ἀμήν. Καὶ προσκυνήσας, ἔρχεται ἐν τῷ συνήθει τόπῳ λέγων. Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ κυρίῳ. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως καὶ εὐλαβείας καὶ φόβου θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως ὀργῆς, κινδύνου, καὶ ἀνάγκης τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον.

Εὐχὴ προσκομιδῆς μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων δώρων ἀπόθεσιν, ἣν λέγει ὁ ἱερεὺς μυστικῶς.

Κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας

πνευματικὰς

Benigne fac domine in bona voluntate tua sion.
De hinc orantes: hoc: Deus propitius esto mihi peccatori. Ante sanctam mensam adorantes ter. Et sacerdos quidem astat: at diaconus ceruicem flectens versus sacerdotem: dicit. Ora pro me dñe. At sacerdos dicit. Spiritus sanctus superueniet in te: & virtus altissimi obumbrabit tibi. At diaconus dicit. Idem sanctus spiritus comministret nobis: & vobis. vbiq; nunc: & semper: & in sęcula: sęculorum. Amen. Tunc igitur diaconus dicit. Memento mei domine sancte. At sacerdos dicit. Recordetur tui dominus deus in regno suo: vbiq; nunc: & semper: & in sæcula: sæculorum. Dia. Amen. Amen. Amen. Et adorans: procedit ad consuetũ locũ: dicens. Expleamus supplicationẽ nostram dño. Chorus. Dñe miserere. Diaconus. Pro appositis preciosis muneribus dominũ deprecemur. Chorus. Dñe miserere. Diaconus. Pro sancta domo ista: & cum fide: innocentia & timore dei ingredientiũ in ipsam dñm depcemur. Chorus. Domine miserere. Diaconus. Vt eripiat nos ab omni tribulatione: ira: periculo: & necessitate: dñm deprecemur. Chorus. Dñe miserere.
Oro. Presentationis post in sanctã mẽsam diuinorũ munerum appositionem: quã dicit sacerdos secreto.
Domine deus omnipotens: solus sanctus: qui suscipis sacrificium laudis: ab inuocantibus te: in toto corde: suscipe etiam nostras peccatorum preces: & admoueas sancto tuo altari & idoneos facias nos ad offerẽdũ tibi munera: ac sacrificia,
G

πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ
λαοῦ ἀγνοημάτων. καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν
ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν
ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ πνεῦμα τῆς χάριτός σου τὸ
ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα καὶ
ἐπὶ πάντα τὸν λαόν σου. Ὁ διά. Ἀντιλαβοῦ σῶ-
σον ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.
Ὁ χο. Κύριε ἐλέησον. Ὁ διά. Τὴν ἡμέραν πᾶσαν
τελείαν εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ κυρίου
αἰτησώμεθα. Ὁ χο. Παράσχου κύριε. Ὁ διά.
Ἄγγελον εἰρήνης πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν, καὶ
τῶν σωμάτων ἡμῶν παρὰ τοῦ κυρίου αἰτησώμεθα.
Ὁ χο. Παράσχου κύριε. Ὁ διά. Συγγνώμην καὶ
ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν
παρὰ τοῦ κυ' αἰτησώμεθα. Ὁ χο. Παράσχου κύριε.
Ὁ διά. Τὰ καλά, καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν,
καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ κυρίου αἰτησώμεθα.
Ὁ χο. Παράσχου κε'. Ὁ διά. Τὸν ὑπόλοιπον χρό-
νον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι,
παρὰ τοῦ κυ' αἰτησώμεθα. Ὁ χο. Παράσχου κύριε.
Ὁ διά. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα
ἀνεπαίσχυντα εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ
τοῦ φοβεροῦ βήματος, παρὰ τοῦ κυρίου αἰτησώμεθα.
Ὁ χο. Παράσχου κύριε. Ὁ διά. Τῆς παναγίας
ἀχράντου ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν
θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν
ἁγίων μνημονεύσαντες ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν
τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα. Ὁ χο.
Σοὶ κε'. Ὁ ἱερεὺς ἐκφώνως. Διὰ τῶν οἰκτιρμῶν
τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ πα-
ναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ
καὶ εἰς

ficia, spiritualia pro peccatis nostris; & populi ignorátia,& dignos facias nos inenire gratiã in conspectu tuo: vt fiat acceptum sacrificium nostrum: & inhabitet spiritus gratiæ tuæ optimus super nos:& super apposita munera ista: & super omnem populũ tuũ. Diaconus. Suscipe: salua: miserere: & conserua nos deus tua gratia.

Chorus. Dñe miserere. Diaconus. Diem: totum perfectum: pacificum: & absq; reatu: a domino deprecemur. Chorus. Concede domine. Diaconus. Angelũ pacis fidelẽ: ductorem: custodem animaꝝ: & corporum nostrorum: a domino deprecemur.

Chorus. Concede domine Diaconus. Indulgẽtiã & remissionem: peccatorum: & delictorum nostrorum: a domino deprecemur. Chorus. Concede domine.

Diaconus. Bona, & vtilia animabus nostris: & pacem mundo: a domino deprecemur.

Chorus. Concede dñe. Diaconus. Residuum tempus vitæ nostræ in pace: ac penitentia perficere ad domino postulemus. Chorus. Concede domine.

Dia. Christianis decẽtes fines vitæ nr̃æ, absq; dolore: improperio: pacificos: & optimã responsionem: ante tremendum tribunal a domino deprecemur.

Chorus. Concede dñe. Diaconus. Sanctissimæ itemeratę plusquã benedictę gloriosæ reginę nostræ deiparę: & semper Virginis mariæ: cum omnibus sãctis mẽoriã recolẽtes: nosmetipsos: & iuicẽ: & oẽm uitã nostram: Christo deo committamus. Chorus. Tibi domine. Sacerdos cũ voce. Per misericordiam vnigeniti tui filii: cum quo benedictus es cum sanctissimo: & optimo: & viuificãte tuo spũ: nũc: & semp

 & in sæcula;

καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.
Ὁ ἱερεύς. Εἰρήνη πᾶσιν. Ὁ διάκ. Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν. Ὁ χορός.
Πατέρα υἱὸν, καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον, καὶ ἀχώριστον. Ὁ ἱερεὺς προσκυνεῖ τρίς, λέγων μυστικῶς τρίς.
Ἀγαπήσω σε κύριε ἡ ἰσχύς μου, κύριος στερέωμά μου, καὶ καταφυγή μου. Καὶ ὁ διάκονος περιπτύσσεται τὸ ὠράριον αὐτοῦ, καὶ προσκυνεῖ τρίς, καὶ ἐπισυνάπτει ἐκφώνως.
Τὰς θύρας, τὰς θύρας, ἐν σοφίᾳ πρόσχωμεν. Καὶ ὁ χορός.
Πιστεύω εἰς ἕνα θεὸν, πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ, καὶ γῆς, ὁρατῶν τε πάντων, καὶ ἀοράτων. Καὶ εἰς ἕνα κύριον ἰησοῦν χν̄, τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτὸς, θεὸν ἀληθινὸν, ἐκ θεοῦ ἀληθινοῦ. Γεννηθέντα οὐ ποιηθέντα ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου, καὶ μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν, ἐπὶ ποντίου πιλάτου. Καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρὸς, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης, κρῖναι ζῶντας, καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ, καὶ υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν ἁγίαν καθολικὴν, καὶ ἀποστολικὴν ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος, Ἀμήν.
Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ ἁγίου συμβόλου,

λέγει

& in sæcula sæcul orum. Chorus. Amen.
Sacerdos. Pax omnibus. Diaconus. Diligamus inuicem: vt in concordia confiteamur. Chorus. Patrẽ: filiũ: & sctm̃ spm̃: trinitatẽ cõsubstãtialẽ: & idiuisibilẽ. Sacerdos inclinat se ter: dicens secreto ter. Diligã te dñe fortitudo mea: dñs firmamẽtũ meũ: & refugium meum. Et Diaconus osculatur Horarium suum: & inclinat se ter: & applicat se cum voce. Ianuas: Ianuas, in sapientia attendamus. Et chorus.

Credo in vnũ deum: patrẽ omnipotentẽ factorẽ cœli: & terræ visibilium omniũ: & inuisibiliũ. Et in vnũ dominum Iesum Christum filium Dei vnigenitũ: ex patre natum ante omnia sæcula. Lumen de lumine, deum verum: de deo uero. Genitum: non factum consubstantialem patri p quem oĩa facta sũt. Qui propter nos homines, & propter nostram salutem descendit de cœlis: & incarnatus est de spiritu sancto: & Maria Virgine: & homo factus est. Crucifixus etiam pro nobis sub pontio pilato: & passus: & sepultus est. Et resurrexit tertia die secundum scripturas: & ascendit in cœlos & sedet ad dextris patris. Et iterũ vẽturus est cũ gloria iudicarẽ viuos: & mortuos: cuius regni non erit finis. Et in spiritum sanctum dominum viuificantem: qui ex patre procedit: qui cum patre: & filio simul adoratur: & conglorificatur: qui locutus est per prophetas. in vnam sanctam catholicam: & apostolicã ecclesiã. Cõfiteor vnũ baptisma ĩ remissionẽ pctõꝝ. expecto resurrectionẽ mortuorũ: & vitam venturi seculi. Amen.

Et post completum sanctum symbolum.

dicit

λέγει ὁ διάκονος ἐκφώνως. Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου, πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν. Ὁ χο. Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως. Ὁ ἱερεὺς ἐκφώνως.

Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, εἴη μετὰ πάντων ὑμῶν. Ὁ χο. Καὶ μετὰ τοῦ πνεύματός σου. Ὁ ἱερεύς. Ἄνω σχῶμεν τὰς καρδίας. Ὁ χο. Ἔχομεν πρὸς τὸν κύριον. Ὁ ἱερεύς. Εὐχαριστήσωμεν τῷ κυρίῳ. Ὁ χο. Ἄξιον καὶ δίκαιον ἐστι προσκυνεῖν πατέρα, υἱὸν, καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου, σὺ γὰρ εἶ θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὢν, ὡσαύτως ὤν, σὺ καὶ ὁ μονογενής σου υἱὸς, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον. σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι καὶ τῷ μονογενεῖ σου υἱῷ καὶ τῷ πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν τῶν εἰς ἡμᾶς γεγενημένων. εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας. καίτοι σοὶ παρεστήκασι χιλιάδες ἀρχαγγέλων καὶ μυριάδες ἀγγέλων, τὰ χερουβὶμ, καὶ τὰ σεραφὶμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά. Ἐκφώνως. Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα. Ὁ χορός. Ἅγιος, ἅγιος, ἅγιος, κύριος σαβαὼθ, πλήρης ὁ οὐρανὸς

καὶ ἡ γῆ

dicit Diaconus cum voce. Stemus honeste. stemus cũ timore: attẽdamus sanctam oblationem in pace offerre. Chorus. Misericordiã pacis: sacrificium laudis. Sacerdos cum voce.

Gratia domini nostri iesu christi: & amor: dei: patris: & communicatio sancti spiritus: sit cum omnibus vobis. Chorus. Et cum spiritu tuo. Sacerdos. Sursum teneamus corda. Chorus. Habe mus a' dominum. Sacerdos. Gratias agamus dño. Chorus. Dignũ: & iustum est: adorare patrẽ filiũ & spũ: scũ: trinitatẽ ꝯsubstãtialẽ: & indiuisibilẽ. Sacerdos inclinans se orat secreto.

DIgnũ: & iustũ est te celebrare: te bñdicere: te laudare: tibi gratias agere: te adorare: in omni loco dominat⁹ tui: tu eni es de⁹ iexplicabilis: i pceptibilis: iuisibilis: icõphẽsibilis: sp existẽs: eodẽ mõ existẽs: tu & vnigenitus tuus filius: spirit⁹ tuus sanctus: tu ex nõ esse: ad esse nos produxisti: & prostratos erexisti denuo: nec destitisti omnia agens donec nos in cœlum perduceres: & regnum tuum donares futurum: pro his omnibus gratias agimus: tibi: & vnigenito tuo filio: & spiritui tuo sancto: pro oĩbus quæ nouimus: & quę i gnoram⁹ manifestis & latentibus beneficiis quæ in nos ꝯtuleras: gratias agimus tibi & pro hoc sacrificio: quod ex manib⁹ nostris accipere dignatus es: quãuis tibi adsistant milia archangelorum: & decẽ milia angelorũ: cherubin: & serahpin: sex alata multis oculis ꝑdita sublimia: alata. Cum voce. Victoriæ hymnum canentia: clamantia: & dicentia. Chorus.

Sanctus: sanctus: sanct⁹ dñs sabbaoth. pleni sunt cœli & terra

καὶ ἡ γῆ τῆς δόξης σου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ὁ διάκονος δὲ λαμβάνει τὸν ἀστερίσκον, καὶ ποιεῖ σταυροειδῶς ἐπὶ τοῦ ἁγίου δίσκου, καὶ σπογγίσας αὐτὸν ἐπὶ τὸ εἰλητόν, καὶ ἀσπασάμενος, τίθησιν αὐτὸν μετὰ τοῦ ἀέρος. Εἶτα μεταβαίνει ἐν τῷ δεξιῷ μέρει, καὶ ῥιπίζει ἐπάνω τῶν ἁγίων μετὰ ῥιπιδίου εὐλαβῶς, εἰ δὲ οὐκ ἔστι ῥιπίδιον, ποιεῖ τοῦτο μετὰ καλύμματος. Ἐπεύχεται μυστικῶς ὁ ἱερεύς.

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων δέσποτα φιλάνθρωπε βοῶμεν καὶ λέγομεν, ἅγιος εἶ καὶ πανάγιος σὺ καὶ ὁ μονογενής σου υἱὸς καὶ τὸ πνεῦμά σου τὸ ἅγιον, ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου, ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν μονογενῆ σου υἱὸν δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον, ὃς ἐλθὼν, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσὶν, εὐχαριστήσας καὶ εὐλογήσας, ἁγιάσας κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών. Ὁ ἱερεὺς κλίνει τὴν κεφαλὴν, καὶ αἴρων τὴν δεξιὰν αὐτοῦ μετὰ εὐλαβείας, εὐλογεῖ τὸν ἅγιον ἄρτον ἐκφώνως λέγων. Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Ὁ χο. Ἀμήν. Ὁ δὲ διάκονος ἀπτόμενος τοῦ ἰδίου ὠραρίου, δείκνυσι σὺν τῷ ἱερεῖ καὶ αὐτὸς τὸν ἅγιον δίσκον, ὁμοίως καὶ ἐπὶ τοῦ ἁγίου ποτηρίου. ὡσαύτως καὶ ὅταν ἀναφωνεῖ ὁ ἱερεὺς τὰ σὰ ἐκ τῶν σῶν. Ὁ ἱερεὺς μυστικῶς. Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων. Ἐκφώνως ὁ ἱερεὺς τὴν χεῖρα ἔχων ἄνωθεν μετὰ εὐλαβείας, καὶ εὐλογῶν, λέγει. Πίετε

ἐξ αὐτοῦ

& terra gloria tua osanna in excelsis. Benedictus q venit in nomine domini osanna in excelsis.
Dia. vero capit asteriscũ: & facit in modũ crucis sup sanctã patenã: & detergens ipsam super corporale: & exosculans ponit ipsum cum sudario: dehinc: transit ad dexteram partem: & sufflat super sacris rebus cum flabello: deuote: & si non est flabellum facit hoc cum velamine. Orat secreto sacerdos.

Cum his: & nos beatis potentiis: domine clementissime clamamus: & dicimus: sanctus es: & scissimus tu: & vnigenitus tuus filius: & spũs tu sanctus: sanctus es: & sanctissimus: & magnifica gloria tua: qui mundum tuum sic dilexisti: vt vnigenitum tuum filium dares: vt omnis qui credit in illũ: nõ pereat: sed habeat vitam æternã: qui cum venisset: & oẽ super nos mandatum complesset: nocte qua tradebatur: vel potius se tradens pro mundi vita: accipiens panem: in sanctas: & intemeratas: ac ĩmaculatas manus suas: gratias agens & benedixit sanctificauit: fregit: dedit sanctis suis discipulis: & apostolis: dicens. Sacerdos inclinato capite: & eleuans dexteram sursum deuote: benedicit sanctũ panẽ: cũ voce dicens. Accipite mãducate: hoc meũ est corpus: qđ p vobis frangit in remissionẽ peccatorum. Chorus. Amen. At diaconus: tangens suum Horarium: ostendit cum sacerdote & ipse sanctam patenam: similiter & super sancto calice eodem modo & cum pronũciat sacerdos: tua ex tuis. Sacerdos: secreto. Similiter & calicem postquam cenauit dicens. Cum voce sacerdos manum habens sursum deuote: & benedicens: ait. Bibite ex hoc

ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν, καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Ὁ χο. Ἀμήν. Ὁ ἱερεὺς κλίνας τὴν κεφαλὴν ἐπεύχεται μυστικῶς.

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας, καὶ ἐνδόξου πάλιν παρουσίας. Ἐκφώνως. Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα καὶ διὰ πάντα. Ὁ χο. Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν σοὶ εὐχαριστοῦμεν κύριε, καὶ δεόμεθά σου ὁ θεὸς ἡμῶν. Ὁ ἱερεὺς πάλιν κλίνας τὴν κεφαλὴν ἐπεύχεται μυστικῶς. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην, καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν, κατάπεμψον τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα. Ὁ διάκονος ἀποτίθησι τὸ ῥιπίδιον, ὅπερ ἐκράτει, ἢ κάλυμμα, καὶ ἔρχεται ἐγγύτερον τῷ ἱερεῖ, καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ εὐχόμενοι καθ' ἑαυτοὺς τό, Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Λέγουσι μυστικῶς τρίς.

Κύριε ὁ τὸ πανάγιον πνεῦμα σου τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις καταπέμψας, τοῦτο ἀγαθὲ μὴ ἀντανέλῃς ἀφ' ἡμῶν. Καὶ τό, Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Εἶτα, τὴν κεφαλὴν κλίνας ὁ διάκονος, δείκνυσι σὺν τῷ ὠραρίῳ τὸν ἅγιον ἄρτον, καὶ λέγει μυστικῶς. Εὐλόγησον δέσποτα τὸν ἅγιον ἄρτον. Καὶ ὁ ἱερεὺς ἀνιστάμενος, σφραγίζει τρὶς τὰ ἅγια δῶρα, λέγων μυστικῶς. Ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ. Ὁ διάκονος. Ἀμήν. Καὶ αὖθις ὁ διάκονος.

ex hoc omnes: hic est sanguis meus noui testamenti: qui pro vobis: & multis effusus est: in remissioné peccatorum. Chorus. Amé. Sacerdos inclinans caput orat secreto.

MEmores igitur salutaris huius mandati: & omnium quæ pro nobis facta sunt: crucis: sepulchri: triduanæ resurrectionis: in cœlos ascensionis: sedis ad dexteram: secundi: & gloriosi rursus aduentus. Cum uoce: Tua ex tuis tibi offerimus in omnibus: & p omnia. Chorus. Te glorificamus: te benedicimus: tibi grãs agim⁹ dñe & deprecamur te deus noster. Sacerdos rursus inclinans caput: orat secreto: Etiam offerimus tibi rationabile hoc: & incruentum obsequium: & q̃sumus: & dep̃camur: & supplicamus: & petim⁹: demitte spiritum tuum sanctum super nos & sup appositta munera ista. Diaconus deposinit flabellũ quod tenebat: aut velamen: & accedit propius ad sacerdotem: & inclinant se ambo ter ante sanctam mensam: & orant intra se hoc. Deus propitius esto mihi peccatori. Dicunt secreto ter.

DOmine qui sanctissimum spiritum tertia hora apostolis misisti: hoc optime ne auferas a nobis. & hoc. Cor mundum crea in me deus: & spiritum rectum innoua in visceribus meis. Dehinc inclinans caput diaconus ostendit cum horario sanctum panem: & dicit secreto. Benedic domine sanctum panem. Et Sacerdos exurgens benedicit ter sancta munera: dicens secreto. Fac quidem panem hunc preciosum corpus christi tui. Diaconus. Amen. Et rursus dia-

κονος. Εὐλόγησον δέσποτα τὸ ἅγιον ποτήριον.
Ὁ δὲ ἱερεὺς εὐλογῶν, λέγει. Τὸ δὲ ἐν τῷ ποτηρίῳ
τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ. Ὁ διά. Ἀμήν.
Καὶ αὖθις ὁ διάκονος δεικνύων μετὰ ὠραρίου ἀμφότερα
τὰ ἅγια, λέγει. Εὐλόγησον δέσποτα. Ὁ δὲ ἱερεὺς
εὐλογῶν μετὰ τῆς χειρὸς ἀμφότερα τὰ ἅγια, λέγει.
Μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ. Ὁ διά.
Ἀμήν. ἀμήν. Ἀμήν. Καὶ τὴν κεφαλὴν ὑπο-
κλίνας ὁ διάκονος τῷ ἱερεῖ, καὶ εἰπὼν τό, Μνήσθητί μου
ἅγιε δέσποτα τοῦ ἁμαρτωλοῦ. Μεθίσταται ἐν ᾧ πρό-
τερον ἵστατο τόπῳ, λαβὼν καὶ τὸ ῥιπίδιον αὖθις ὡς πρό-
τερον. Ὁ δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς. Ὥστε γενέσθαι
τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν
ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου πνεύματος, εἰς βασιλείας
οὐρανῶν πλήρωμα, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς
κρίμα, ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τὴν λογι-
κὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυομένων
Προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, Ἀποστό-
λων, κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν,
Ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος ἐν πίστει τετελειωμένου.
Ἐκφώνως. Ἐξαιρέτως τῆς παναγίας ἀχράντου ὑπερευ-
λογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀει-
παρθένου Μαρίας. Ὁ χο. ψάλλει. Ἄξιόν ἐστιν ὡς
ἀληθῶς μακαρίζειν σὲ τὴν θεοτόκον, τὴν ἀειμακάριστον, καὶ
παναμώμητον, καὶ μητέρα τοῦ θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν
τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σερα-
φίμ, τὴν ἀδιαφθόρως θεὸν λόγον τεκοῦσαν, τὴν ὄντως
θεοτόκον σὲ μεγαλύνομεν. Ἢ τὸ τῆς ἡμέρας.
Ὁ διάκονος θυμιᾷ γύρωθεν τὴν ἁγίαν τράπεζαν, καὶ τὰ
δίπτυχα. Τῶν τε κεκοιμημένων, καὶ ζώντων ὧν βούλεται
μνημονεύει. Ὁ δὲ ἱερεὺς κλινόμενος εὔχεται μυστικῶς.

Τοῦ ἁγίου

conus. Benedic domine sanctum calicem. At sacerdos benedicens ait. Qui autem in calice est isto preciosum sanguinẽ christi tui. Diaconus. Amẽ. Et rursus diaconus. Ostendens cum horario utrunqꝫ sacramentum: dicit. Benedic domine. At sacerdos benedicens manu vtrunqꝫ sacramentum: dicit.

Permutans spiritu tuo sancto. Diaconus. Amen. Amen. Amen. Et caput inclinans diaconus sacerdoti dicit hoc. Memento mei sanctæ pater peccatoris. Reuertitur in quo prius steterat loco: accipiens & flabellum rursus: ut prius. At sacerdos orat secreto. Vt fiat accipientibus in sobrietatem animæ: in remissionem peccatoꝝ: in cõmunicationẽ sancti spiritus: in regni cœlorum plenitudinem: in fiduciam erga te: non in delictum: aut dãnationem: item offerimus tibi rationabile hoc obsequiũ pro his qui in christo requiescũt. Propatris: patribus: patriarchis, prophetis, apostolis: preconibus: euangelistis: Martyribus: cõfessorib9. continentibus: & omni spiritu in fide decedente. Cũ voce. Prẹsertim sanctissimẹ & itemeratẹ: plusq̃ benedictæ gloriosæ reginæ nostræ deiparæ: & semper virginis Mariæ. Chorus cantat. Dignum est vt vere beatificemus te deiparam semper beatificãdã: & penitus irreꝑhẽsibilẽ: & matrẽ dei nr̃i: venerabiliorẽ cherubin: & magis gl̃iosam absqꝫ cõparatione seraphin: incorruptibilẽ: deũ vt verbũ parientem: veræ deiparam te magnificamus. Aut dici.

Diaconus incensat circumiens sanctam mensam: & corporalia: ac defunctorum: & viuorum prout vult memoriã facit. Ad sacerdos inclinãs se: orat secreto.

Sancti

τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προδρόμου, καὶ βαπτιστοῦ. Τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων. Τοῦ ἁγίου τοῦ δεῖνα, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν. Καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ θεός, καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου. Ἐνταῦθα ὁ ἱερεὺς μνημονεύει ὧν θέλει ζώντων, καὶ τεθνεώτων. Ὑπὲρ ζώντων λέγει.

Ὑπὲρ σωτηρίας ἐπισκέψεως ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ θεοῦ, ὁ δεῖνος. Ὑπὲρ τεθνεώτων λέγει.

Ὑπὲρ ἀναπαύσεως, καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου σου ὁ δεῖνος ἐν τόπῳ φωτεινῷ, ἔνθα ἀπέδρα λύπη, στεναγμὸς, ἀνάπαυσον αὐτὴν ὁ θεὸς ἡμῶν, καὶ ἀνάπαυσον αὐτὴν ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε, μνήσθητι κύριε πάσης ἐπισκοπῆς ὀρθοδόξων τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης.

Ὑπὲρ τῆς ἁγίας καθολικῆς, καὶ ἀποστολικῆς ἐκκλησίας. Ὑπὲρ τῶν ἐν ἁγνείᾳ, καὶ σεμνῇ πολιτείᾳ διαγόντων. Ὑπὲρ τῶν πιστοτάτων, καὶ φιλοχρίστων ἡμῶν βασιλέων. παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν. δὸς αὐτοῖς κύριε εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον, καὶ ἡσύχιον βίον διάγωμεν πάσῃ ἐν εὐσεβείᾳ, καὶ σεμνότητι. Ὁ μὲν διάκονος ἐπιστρέφει πρὸς τὴν θύραν τοῦ ἁγίου βήματος κρατῶν τὸ ὠράριον τοῖς τρισὶν ἄκροις δακτύλοις, καὶ λέγει. Καὶ πάντων καὶ πασῶν. Ὁ δὲ χορὸς ψάλλει. Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ ἱερεὺς ἐκφωνεῖ. Ἐν πρώτοις μνήσθητι κύριε τοῦ ἀρχιεπισκόπου ἡμῶν ὁ δεῖνος. ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ σῶον ἔντιμον ὑγιῆ μακροημερεύοντα,

sancti Ioannis prophetę: præcursoris: ac baptistæ sanctorum: & gloriosorum apostolorum: sancti. huius: cuius memoriam agimus: Et omnium sanctorũ tuorum: quorum precibus ꝓtege nos deus & memento omnium defunctorum; in spe resurrectionis vitæ æternæ. Hic sacerdos memoriã agit quorum vult viuorum: & mortuorum: pro viuis dicit.

Pro salute protectione remissione peccatorum serui dei. N. pro defunctis dicit.

Pro requie: & remissione animæ famuli tui. N. in loco luminoso: vbi non est dolor: gemitus: colloces ipsam deus noster: & requiscere facias ipsam vbi custodit lumen vultus tui: item precamur te: memento dñe omnium episcoporum orthodoxorum: recte dirigentium verbum tuæ veritatis: omnis præsbyteratus: in christo diaconibus: & omnis sacerdotalis ordinis. Etiam offerimus tibi rationabile hoc obsequium pro orbe terrarum: pro sancta catholica: & apostolica ecclesia ꝑ his qui in sancta: ac venerabili republica vitã degũt. ꝓ fidelissimis: & christianissimis nostris regibus: cuncto palatio: & exercitu ipsorum: tribue illis domine pacificum regnum: & nos in tranquilitate ipsorum: quietã: & pacificã vitã pagamus in omni pietate: & veneratione. Nam diaconus conuertit se ad ianuam sancti tabernaculi: tenens horarium tribus extremis digitis: & dicit. Et omnium: & cunctorum. At chorus cantat. Et omniũ: & cũctorum. At sacerdos pronunciat Imprimis memento domine Archiepiscopi nostri. N. quem concede sanctis tuis ecclesiis in pace; sospitẽ: honorabilem: icolumẽ: longæuum

δεύοντα, ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ διάκονος πρὸς τῇ θύρᾳ στὰς, λέγει. Τοῦ δεῖνος πανιερωτάτου μητροπολίτου, ἢ ἐπισκόπου, ὅστις ἂν ᾖ. Καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα ταῦτα εὐλαβεστάτου ἱερέως τοῦ δεῖνος. Ὑπὲρ σωτηρίας τῶν εὐσεβεστάτων, καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, καὶ πάντων καὶ πασῶν. Ὁ χο. Καὶ πάντων καὶ πασῶν.

Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μνήσθητι κύριε τῆς πόλεως ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως, καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι κύριε πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι κύριε τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον. Ἐκφώνως. Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι, καὶ μιᾷ καρδίᾳ δοξάζειν, καὶ ἀνυμνεῖν τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν.

Ὁ ἱερεὺς ἐπιστρέφεται πρὸς τὴν θύραν, καὶ εὐλογῶν λέγει ἐκφώνως. Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ὁ χο. Καὶ μετὰ τοῦ πνεύματός σου. Καὶ ὁ διάκονος ἐξέρχεται, ἢ ἔστιν, ἢ δ' αὖ, ὁ ἱερεὺς, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει. Πάντων τῶν ἁγίων μνημονεύσαντες ἔτι, καὶ ἔτι τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε ἐλέησον. Ὁ διάκονος. Ὑπὲρ τῶν προσκομισθέντων, καὶ ἁγιασθέντων τιμίων δώρων τοῦ κυρίου δεηθῶμεν. Ὁ χορός. Κύριε ἐλέησον. Ὁ διάκονος. Ὅπως ὁ φιλάνθρωπος θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερὸν

αὐτοῦ

græuum recte dirigentem verbum tuæ veritatis.
Et diaconus ante ianuam consistens dicit. huius N Sacratissimi Metropolite: aut episcopi: quicunq fuerit: Et pro offerente sancta munera ista: innocentissimo sacerdote. N. pro salute piissimorum: & deuotissimorum regum nostrorum: & omnium: ac cunctorũ. Chorus. Et oium: & cũctorum.

Sacerdos orat secreto.

Memento domine vrbis in qua habitamus: & totius ciuitatis: & regionis: & cum fide habitantiũ in ipsis. Memento dñe nauigantium: peregrinãtium egrotantium: laborantium: captiuorum: & salutis ipsorum. Memento domine fructus: & bona opera exhibentium in sanctis tuis ecclesiis: & qui recordantur pauperum: & super omnes nos miserationes tuas demitte. Cũ voce. Et tribue nobis in vno ore: & vno corde laudare & glorificare valde honorabile: & magnificũ nomẽ tuũ: patris: & filii: & spiritus sancti: nunc: & semper: & in sæcula: sæculorum. Chorus. Amen.
Sacerdos conuertit se ad ianuam: & benedicens: dicit cum voce. Et sint misericordiæ magni dei: & saluatoris nostri Iesu christi cũ oibus vobis. Chorus. Et cum spiritu tuo. Et diaconus egreditur: si est: si vero non: sacerdos: & stãs in cõsueto loco. dicit. oium sanctorum memoriã agentes: etiã: atq̃ ẽt dñm deprecemur. Chorus. Dñe miserere. Diaconus. Pro oblatis: & sacrificatis preciosis muneribus dominum deprecemur. Chorus. Domine miserere. Diaconus. Vt clementissimus dominus nr̃: qui accipit ipsa: in sanctum: & sup cœleste: ac intellectuale

αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς,
ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν
τοῦ παναγίου πνεύματος, τοῦ κυρίου δεηθῶμεν.
Ὁ χο. Κύριε ἐλέησον. Ὁ διάκονος. Ὑπὲρ τοῦ
ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως ὀργῆς κινδύνου καὶ
ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. Ὁ χο. Κύριε
ἐλέησον. Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ
τὴν ἐλπίδα δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦ
μεν καὶ δεόμεθα καὶ ἱκετεύομεν, καταξίωσον ἡμᾶς μετα
λαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων
ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης μετὰ κα
θαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν
πλημμελημάτων, εἰς πνεύματος ἁγίου κοινωνίαν,
εἰς βασιλείας οὐρανῶν κληρονομίαν, μὴ εἰς κρίμα, ἢ εἰς
ἀντίκριμα. Ὁ δια. Ἀντιλαβοῦ σῶσον ἐλέησον καὶ
διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χο. Κύριε
ἐλέησον. Ὁ δια. Τὴν ἡμέραν πᾶσαν τελείαν ἁγίαν
εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ κυρίου αἰτησώμεθα.
Ὁ χο. Παράσχου κύριε. Ὁ δια. Ἄγγελον εἰρήνης πιστὸν
ὁδηγὸν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, πα
ρὰ τοῦ κυρίου αἰτησώμεθα. Ὁ χο. Παράσχου κύριε.
Ὁ δια. Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν
πλημμελημάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα.
Ὁ χο. Παράσχου κύριε. Ὁ δια. Τὰ καλὰ καὶ
συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ,
παρὰ τοῦ κυρίου αἰτησώμεθα. Ὁ χο. Παράσχου κύριε.
Ὁ δια. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν
εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ κυρίου αἰτησώ
μεθα. Ὁ χο. Παράσχου κύριε. Ὁ δια. Τὴν ἑνό
τητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου πνεύμα
τος αἰτησάμενοι,

ſuum altare: in odorem ſuauitatis ſpiritualis: remittat uiciſſim nobis diuinã: gratiam: & domum ſanctiſſimi ſpiritus: dominum deprecemur. Chorus. Domine miſerere. Diaconus. vt eripiat nos ab omni tribulatione: ira: periculo: & neceſſitate: Dominum deprecemur. Chorus. Domine miſerere. Sacerdos orat ſecreto.

TIbi comittimus vitam noſtram omnem: & ſpem Domine clementiſſime: & rogamus: et depcamur: ac ſupplicamus: dignos fac nos communicare ſup cœleſtiũ tuorũ: & tremẽdorum miſteriorum huius ſanctæ: & ſpiritualis menſæ cum pura conſcientia. In remiſſionem pecca torum: in veniã. Delictorum: in ſpiritus ſancti communicationem. in regni cœlorum hereditatem: non in reatum: aut in damnationem. Diaconus. Suſcipe. Salua: miſerere: & conſerua nos deus tua gratia. Chorus. Domine miſerere. Diaconus: Diem totum: perfectum: ſanctũ. Pacificum: & abſq; reatu: a domino deprecemur. Chorus Concede dñe Diaconus. Angelũ pacis fidelẽ: ductorem: cuſtodem animarũ: & corporũ noſtrorum a domino deprecemur. Chorus. Concede domine. Diaconus. Indulgentiam: & remiſſionẽ peccatorum & delictorum noſtrorum: a domino deprecemur. Chorus. Concede domine. Diaconus. Optima. & vtilia animabus noſtris: & pacem mundo: a domino deprecemur. Chorus. Concede domine. Diaconus. Reſiduum tempus vitæ noſtræ: in pace: & pœnitentia perficere: a domino deprecemur. Chorus. Concede domine. Diaconus: vnionem fidei: & communicationem ſancti ſpiritus

τες αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. Ὁ χορός. Σοὶ κύριε. Ἐκφώνως ὁ ἱερεύς. Καὶ καταξίωσον ἡμᾶς δέσποτα μετὰ παρρησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον Θεὸν πατέρα, καὶ λέγειν. Ὁ χο.


Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Ὁ ἱερεύς.
Εἰρήνη πᾶσιν. Ὁ χο. Καὶ μετὰ τοῦ πνεύματός σου.
Ὁ διά. Τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε.
Ὁ χορός. Σοὶ κύριε. Κλίνας γοῦν ὁ διάκονος μικρὸν τὴν κεφαλήν, καὶ ὁρῶν τὸν ἱερέα προσκυνοῦντα, προσκυνεῖ καὶ αὐτός. Ὁ ἱερεύς κλινόμενος ἐπεύχεται μυστικῶς.


Εὐχαριστοῦμέν σοι βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα. αὐτὸς δέσποτα οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς, οὐ γὰρ ἔκλιναν σαρκί, καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. σὺ οὖν δέσποτα τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν. τοῖς πλέουσι σύμπλευσον. τοῖς ὁδοιποροῦσι συνόδευσον. τοὺς νοσοῦντας ἴασαι ὁ ἰατρὸς τῶν ψυχῶν, καὶ τῶν σωμάτων.
Ἐκφώνως

titus postulantes: nosmetipsos: & inuicem: & omnē vitam nostrā christo deo cōmittamus, Chorus. Tibi domine. Cum voce sacerdos. Et dignos facias nos: domine cum fiducia irreprobatos audere inuocare te super cœlestē deum patrē: & dicere. Chorus.

PAter noster qui in cœlis sanctificetur nomen tuum: adueniat regnum tuum. fiat voluntas tua, sicut in cœlo & in terra. Panem nostrum quotidianum da nobis hodie & dimitte nobis debita nostra, sicut & nos dimittimus debitoribus nostris. Et ne inducas nos in tentationem. Sed libera nos a malo. Amen. Cum voce sacerdos.

Quoniā tuū est regnum: & potentia: & gloria patris: & filii: & spiritus sancti: nunc: & semper: & in sæcula: sæculorum. Chorus. Amen. Sacerdos Pax omnibus. Chorus. Et cum spiritu tuo. Diaconus. Capita vestra domino humiliate. Chorus. Tibi domine. Inclinans igitur diaconus. paululum caput: & inspiciens sacerdotem adorātem: adorat & ipse. Sacerdos inclinatus orat secreto.

GRatias agimus tibi rex inuisibilis: quoniā imensa tua potentia cuncta creasti: & multitudine misericordiæ tuæ ex non ente: in esse produxisti cuncta: tu domine cœlitus respice hic ad inclinantes tibi ipsorum capita: non enim inclinarunt carni: & sanguini: sed tibi tremendo deo: tu igitur domine proposita omnibus nobis in bonum dirigas pro cuiusq; proprio usu: cum nauigantibus conauiga: cum peregrinantibus commees: egrotus sana: medice animarum: ac corporum. Cum voce

Ἐκφώνως ὁ ἱερεύς. Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Πρόσχες κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών. καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου, καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ. Εἶτα προσκυνεῖ ὁ ἱερεύς, καὶ ὁ διάκονος ἐν ᾧ εἰσὶ τόπῳ, λέγοντες μυστικῶς τρίς. Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Καὶ ὁ λαὸς ὁμοίως πάντες μετὰ εὐλαβείας προσκυνοῦσιν. Ὅταν δὲ ἴδῃ ὁ διάκονος τὸν ἱερέα ἐκτείνοντα τὰς χεῖρας, καὶ ἁπτόμενον τοῦ ἁγίου ἄρτου πρὸς τὸ ποιῆσαι τὴν ἁγίαν ὕψωσιν. Ἐκφωνεῖ. Πρόσχωμεν. Καὶ ὁ ἱερεύς. Τὰ ἅγια τοῖς ἁγίοις. Ὁ χορός. Εἷς ἅγιος, εἷς κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός, ἀμήν. Εἶτα ψάλλει ὁ χορὸς τὸ κοινωνικὸν τῆς ἡμέρας, ἢ τοῦ ἁγίου. καὶ ὁ διάκονος ζώννυται τὸ ὀράριον αὐτοῦ σταυροειδῶς, καὶ στὰς ἐκ δεξιῶν τοῦ ἱερέως κρατοῦντος τὸν ἄρτον λέγει. Μέλισον δέσποτα τὸν ἅγιον ἄρτον. Ὁ δὲ ἱερεὺς μελίζων αὐτὸν εἰς τέσσαρα μετὰ προσοχῆς, καὶ εὐλαβείας, λέγει.

Μελίζεται καὶ διαμερίζεται ὁ ἀμνὸς τοῦ θεοῦ ὁ υἱὸς τοῦ πατρός, ὁ μελιζόμενος, καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος, καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζει. Τότε λαμβάνει τὸ ἓν μέρος τοῦ ἁγίου ἄρτου, καὶ ἐν τῇ χειρὶ ἔχει. Καὶ ὁ διάκονος δεικνύων σὺν τῷ ὀραρίῳ τὸ ἅγιον ποτήριον, λέγει.

Πλήρωσον

Cum voce facerdos. Gratia: & miferationibus: & pietate vnigeniti filii tui: cum quo benedictus es: cum fanctiffimo: ac optimo: & viuificante tuo spiritu: nunc: & femper: & in fæcula: fæculorum. Chorus. Amen. Sacerdos orat fecreto.

RESpice dñe Iefu chrifte deus nofter de fancto habitaculo tuo: & de throno gloriæ regni tui & veni ad fanctificãdũ nos: q i excelfis cũ pr̃e fimul refides: & hic nobifcũ inuifibiliter exiftens: & dignare potenti tua manu participes facere nos ĩmaculati corporis tui: & preciofi fanguinis: & per nos cuncto populo. Dehinc adorat facerdos: & Diaconus in quo eft loco: dicentes fecreto: ter: Deus propitius efto mihi peccatori. & populus fimiliter omnes cum deuotione adorat. Cum autem videt diaconus facerdotem extendẽtẽ manus: & tangentem fanctũ panem: vt faciat fanctam eleuationem: pronunciat. Attendamus: & facerdos: Sancta: fanctis. Chorus. Vnus fanctus: vn⁹ dñs iefus chriftus i gl'ia dei patris. Amẽ. Dehinc cantat chorus cõmunicationem diei: aut fancti: & diaconus præcinxit fe horario fuo in crucis modum: & ftans a dextris facerdotis tenentis panem. dicit. Scinde domine fanctũ panẽ. At facerdos: fcindẽs: ipfum in q̃tuor ptes cum fupplicatione: & deuote dicit. Scinditur: & diuiditur agnus dei filius patris: fciffus: nec diuifus: qui vbiq̧ editur: nec vnquam abfumit: fed participantes fanctificat. Tunc accipit vnam partem fancti panis: & in manu continet: & diaconus oftendens cum horario fanctum calicem. dicit.

Impleas

Πλήρωσον δέσποτα τὸ ἅγιον ποτήριον. Ὁ δὲ ἱερεὺς λέγει. Πλήρωμα πίστεως πνεύματος ἁγίου. Καὶ ποιεῖ διὰ σταυρὸν, καὶ ἐμβάλλει εἰς τὸ ἅγιον ποτήριον. Ὁ διάκονος. Ἀμήν. Καὶ δεχόμενος τὸ ζέον, λέγει πρὸς τὸν ἱερέα. Εὐλόγησον δέσποτα τὴν ἁγίαν ζέσιν ταύτην. Ὁ δὲ ἱερεὺς εὐλογεῖ λέγων. Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ δὲ διάκονος ἐγχέει σταυροειδῶς ἔνδον τοῦ ἁγίου ποτηρίου, λέγων. Ζέσις πίστεως πλήρης πνεύματος ἁγίου. Ἀμήν. Καὶ ἐγχέει πικρὸν ἐκ τρίτου. Καὶ ἀποτιθέμενος τὸ ζέον, ἵσταται μικρὸν ἄποθεν. Ὁ δὲ ἱερεὺς λέγει. Πρόσελθε διάκονε. καὶ προσελθὼν ὁ διάκονος, ποιεῖ μετάνοιαν εὐλαβῶς, αἰτῶν συγχώρησιν. Ὁ δὲ ἱερεὺς κρατῶν τὸν ἅγιον ἄρτον, δίδωσι τῷ διακόνῳ. καὶ ἀσπασάμενος ὁ διάκονος τὴν μεταδιδοῦσαν αὐτῷ χεῖρα, λαμβάνει τὸν ἅγιον ἄρτον λέγων. Μεταδός μοι δέσποτα τὸ τίμιον, καὶ ἅγιον σῶμα τοῦ κυρίου, καὶ θεοῦ, καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ. Ὁ δὲ ἱερεὺς λέγει. Μεταδίδωμί σοι τὸ τίμιον, καὶ ἅγιον, καὶ ἄχραντον σῶμα τοῦ κυρίου, καὶ θεοῦ, καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς ζωὴν αἰώνιον. καὶ ἀπέρχεται ὄπισθεν τῆς ἱερᾶς τραπέζης κλίνας τὴν κεφαλὴν, καὶ προσεύχεται ὡς ὁ ἱερεύς. Ὁμοίως δὲ ὁ ἱερεὺς λαμβάνει τὸν ἅγιον ἄρτον, κλίνας τὴν κεφαλὴν ἔμπροσθεν τῆς ἱερᾶς τραπέζης, καὶ εὔχεται οὕτως.

Πιστεύω κύριε, καὶ ὁμολογῶ ὅτι σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτος ἐγώ εἰμι. καὶ Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον υἱὲ θεοῦ κοινωνόν με παράλαβε. οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω. οὐ φίλημά σοι δώσω καθάπερ ἰούδας, ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι,

μνήσθητί μου

imponit & Sophia in Calice

Impleas domine sanctum calicem. At sacerdos dicit. Plenitudo fidei spiritus sancti: & facit signum crucis: & imponit in sanctum calicem. Diaconus. Amen. Et accipiens lagenulam dicit ad sacerdotem. Benedic domine sanctam feruidam hanc. At sacerdos benedicit dicens. Benedictus feruor sanctorum tuorum vbique nunc: & semper: & in sæcula sæculorum. Amen. At diaconus infundit in modum crucis intus sanctum calicē: dicēs: feruor fidei plenus spiritus sancti. Amen. Et hoc facit tertio: & deponens lagenulam consistit paululum seorsum. At sacerdos dicit. Accede diacone: & accedens diaconus facit reuerentiam deuote petens veniam. At sacerdos tenens sanctum panem: porrigit diacono: & exosculans diaconus porrectam sibi manum accipit sanctum panem: dicens. Impartiaris mihi dñe preciosum: & sanctū corpus dñi & dei: & saluatoris nostri iesu xpi. At sacerdos dicit. Impartior tibi preciosum: & sanctum: & īmaculatum corpus domini: & dei: & saluatoris nostri Iesu christi in remissionem peccatorum: in uitā eternā: & recedit postergū sanctæ mensæ inclinans caput: & orat vt sacerdos. Similiter autem sacerdos accipit sanctum panem: inclinans caput ante sanctam mensam & orat sic.

Credo dñe: & confiteor quod tu es christus filius dei viuentis: veniens in mundum peccatores saluare: quorum primus ego sum & Cenæ tuæ mysticæ hodie fili dei cōmunicantē me suscipe. Nō enim inimicis tuis mysterium dicam: nec osculū tibi dabo quemadmo dū iudas: sed ut latro cōfiteor tibi:

 memento

μνήσθητί μου κύριε ἐν τῇ βασιλείᾳ σου. καὶ Κύριε οὐκ εἰμὶ ἄξιος, ἵνα ὑπὸ τὴν ῥυπαρὰν στέγην τῆς ψυχῆς μου εἰσέλθῃς. ἀλλ᾽ ὡς κατεδέξω ἐν σπηλαίῳ, καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, καὶ ἐν τῇ οἰκίᾳ σίμωνος τοῦ λεπροῦ καὶ τὴν ὁμοίαν μου πόρνην τὴν ἁμαρτωλὸν προσερχομένην σοι καταδεξάμενος, οὕτως καταξίωσον, καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς, καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν τοῦ νεκροῦ, καὶ λεπροῦ. Καὶ ὡς οὐκ ἐβδελύξω τὸ στόμα τὸ ῥυπαρὸν τῆς πόρνης καταφιλούσης τοὺς ἀχράντους σου πόδας, οὕτω δέσποτα θεέ μου μὴ βδελύξῃς, καὶ ἐμὲ τὸν ἁμαρτωλόν. ἀλλ᾽ ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος ἀξίωσόν με κοινωνὸν γενέσθαι τοῦ παναγίου σώματος, καὶ αἵματός σου.

Ὁ Θεὸς ἡμῶν ἄνες ἄφες συγχώρησόν μοι τὰ παραπτώματά μου, ὅσα σοι ἥμαρτον, εἴτε ἐν γνώσει εἴτε ἐν ἀγνοίᾳ, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ ἔπραξα. πάντα μοι συγχώρησον ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος. ταῖς πρεσβείαις τῆς παναχράντου σου, καὶ ἀειπαρθένου μητρὸς ἀκατάκριτόν με διατήρησον δέξασθαι τὸ τίμιον καὶ ἄχραντον σῶμά σου, εἰς ἴασιν ψυχῆς, καὶ σώματος. ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ οὕτω μεταλαμβάνουσι τὸν ἅγιον ἄρτον, ὁμοίως, καὶ τὸ ἅγιον ποτήριον, καὶ μεταλαμβάνει πρότερον μὲν ὁ ἱερεὺς τρία ῥοφήματα ἐν μιᾷ ὑποκλίσει. καὶ ἐν μὲν τῷ πρώτῳ ῥοφήματι λέγει.

Εἰς τὸ ὄνομα τοῦ πατρὸς. Ἐν δὲ τῷ δευτέρῳ. καὶ τοῦ υἱοῦ. Ἐν τῷ τρίτῳ δὲ, Καὶ τοῦ ἁγίου πνεύματος. Καὶ μετὰ τὴν μετάληψιν σπογγίζει τῷ καλύμματι τὸ ἅγιον ποτήριον, καὶ τὰ ἑαυτοῦ χείλη ἐπιδεξίως ἅμα, καὶ εὐλαβῶς, λέγων.

Τοῦτο ἥψατο τῶν χειλέων μου, καὶ ἀφελεῖ τὰς ἀνομίας μου, καὶ

memento mei domine in regno tuo. Et Dñe nõ sum dignus vt sub sordidum tectum animæ meæ ingredi ens .Sed quẽadmodũ dignat' es in spelũca: & præsæpio brutorũ reclinari: & i domo Simonis leprosi: et similem mei meretricem peccantem: accedentem ad te suscipere. Tu idem dignare etiã in præsepio irrationalis meæ animæ: & in speluncatũ meũ corpus ingredi q mortuus sum: & leprosus. Et quẽadmodũ non fastidisti os sordidum meretricis osculantis immaculatos tuos pedes: sic dñe deus meus: ne fastidias & me peccatorem: sed vt optimus: & clemens dignum fac me participem fieri: sanctissimi corporis: & sanguinis tui.

Deus noster: remitte: dimitte: indulge mihi delicta mea quæ in te commissi: vel sciens: vel p ignorantiam. Vel verbo: vel opere patraui: omnia mihi remitte: vt bonus: & clemens: intercessionibus intemeratæ tuæ: & semper virginis matris: irreprobatũ me conserua: sumere preciosum & imaculatũ corp' tuũ: ad sanitatẽ animæ: & corporis qm̃ tuũ est regnum: & potentia: & gloria: patris: & filii: & spiritus sancti: nunc: & semper: & in sæcula sæculorum. Amen. Et sic accipiunt sanctum panem: & sanctum calicem: & de sumit prius quidem sacerdos tres haustus in vña inclinatione: & idem in primo haustu dicit in nomine patris. At in secundo & filii. & tertio vero: & sancti spiritus: & post sumptionem abstergit velamine sanctum calicem: & propria labia apte: simul ac reuerenter: dicens. Hoc tetigit labia mea: & auferet iniquitates

 meas &

μου, καὶ τὰς ἁμαρτίας μου περικαθαριεῖ, πάντοτε νῦν
καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Κρατῶν δὲ τὸ ἅγιον ποτήριον καλεῖ τὸν διάκονον, λέγων,
Διάκονε πρόσελθε. Καὶ ὁ διάκονος ἔρχεται καὶ προσκυνεῖ
ἅπαξ λέγων. Ἰδοὺ προσέρχομαι τῷ ἀθανάτῳ βασιλεῖ.
Καὶ τό. Πιστεύω κύριε καὶ ὁμολογῶ, ὅλον. Καὶ λέγει ὁ ἱερεύς.
Μεταλαμβάνεις ὁ δοῦλος τοῦ θεοῦ διάκονος ὁ δεῖνα,
τὸ τίμιον, καὶ ἅγιον σῶμα, καὶ αἷμα τοῦ κῦ, καὶ σωτῆρος
ἡμῶν Ἰησοῦ χῦ, εἰς ἄφεσιν τῶν ἁμαρτιῶν σου, καὶ εἰς
ζωὴν αἰώνιον. Μεταλαβόντες δὲ τοῦ διακόνου, λέγει
ὁ ἱερεύς. Τοῦτο ἥψατο τῶν χειλέων σου, καὶ ἀφελεῖ
τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.
ὡς καὶ δι' ἑαυτοῦ εἶπεν. Τότε λαβὼν τὸν ἅγιον
δίσκον ὁ διά. ἐπάνω τοῦ ἁγίου ποτηρίου ἀποσπογγίζει τῷ
ἁγίῳ σπόγγῳ πάνυ καλῶς, καὶ μετὰ προσοχῆς, καὶ εὐλα-
βείας, καὶ σκεπάζει τὸ ἅγιον ποτήριον τῷ καλύμματι.
ὁμοίως καὶ ἐπὶ τὸν ἅγιον δίσκον τίθησι τὸν ἀστέρα καὶ τὰ
καλύμματα. Καὶ ἀνοίγουσι τὴν θύραν τοῦ ἁγίου βή-
ματος. Καὶ ὁ διάκονος προσκυνήσας ἅπαξ, λαμβάνει
τὸ ἅγιον ποτήριον μετὰ εὐλαβείας, καὶ ἔρχεται εἰς τὴν
θύραν, καὶ ὑψῶν τὸ ἅγιον ποτήριον δείκνυσιν αὐτὸ τῷ
λαῷ, λέγων Μετὰ φόβου θεοῦ καὶ πίστεως προσέλθετε.
Ὁ χο. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κῦ· θεὸς
κς̄ καὶ ἐπέφανεν ἡμῖν. Καὶ ὁ ἱερεὺς εὐλογεῖ τὸν λαὸν,
λέγων ἐκφώνως. Σῶσον ὁ θεὸς τὸν λαόν σου, καὶ
εὐλόγησον τὴν κληρονομίαν σου. Καὶ ὁ χορός. Εἰς
πολλὰ τὰ ἔτη δέσποτα. Καὶ ἐπιστρέφουσιν ὅτε, διά-
κονος καὶ ὁ ἱερεὺς εἰς τὴν ἁγίαν τράπεζαν, καὶ θυμιᾷ
ὁ ἱερεὺς τρὶς, λέγων καθ' ἑαυτόν. Ὑψώθητι ἐπὶ τοὺς
οὐρανοὺς ὁ θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.
Εἶτα λαβὼν τὸν ἅγιον δίσκον, τίθησιν ἐπὶ τὴν κεφαλὴν
τοῦ διακόνου.

meas: & delicta mea per purgabit: vbiq; nunc: & semper: & in sæcula: sæculorum. Amen.
Tenens vero sanctum calicem: vocat diaconũ: dicẽs. Diacone accede. Et diaconus procedit & adorat. Semel dicens. Ecce venio ad immortalem Regem. Et hoc: credo: & confiteor. Totum. Et dicit sacerdos accipis serue dei diacone. N. ꝑciosũ: & scũm corpus: & sanguinẽ dñi: & saluatoris nostri Iesu xp̃i in remissionem peccatorũ tuoꝝ: & in vitam æternam. Summente diacono dicit sacerdos. Hoc tetigit labia tua & auferet iniquitates tuas: & delicta tua per purgabit. Quẽadmodũ & ꝓ semetipso dixerat. Tũ accipiẽs scã; patenam diaconus super sanctum calicem: detergit sctã spõgia satis accurate: & cũ supplicatiõe: & deuotione: & velat sanctum calicem velamine. Similiter & super sanctam patenam ponit asteriscũ: & velamina: & aperiunt ianuam sancti tabernaculi: & diaconus adorans semel sumit sanctum calicem cum veneratione: & procedit ad ostium: & attollem sanctum calicem: ostendit ipsum populo dicens. Cum timore dei: & fide accedite. Chorus. Benedictus qui venit in nomine domini de⁹ dñs: & illuxit nobis. Et sacerdos benedicit populũ dicens cum voce. Salua Deus populum tuum & benedic hereditati tuæ. Et chorus in multos annos domine. Et reuertuntur & diaconus: & sacerdos ad sanctam mensam: & in censat sacerdos ter dicens intra se. Eleuatus es super cœlos deus: & super omnem terram gloria tua. De hinc capiens sanctam patenã: imponit sup caput

diaconi:

τοῦ διακόνου. Καὶ ὁ διάκονος λαβὼν αὐτὸν μετ' εὐλαβείας, θεωρῶν ἔξω πρὸς τὴν θύραν, οὐδὲν λέγων, ἀπέρχεται εἰς τὴν πρόθεσιν, καὶ ἀποτίθησιν αὐτόν. Ὁ δὲ ἱερεὺς προσκυνήσας, καὶ λαβὼν τὸ ἅγιον ποτήριον, καὶ ἐπιστραφεὶς πρὸς τὴν θύραν, ὁρᾷ τὸν λαὸν, λέγων. Πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ χο. Ἀμήν. Καὶ εὐθὺς λέγει μυστικῶς τὴν εὐχήν.

Εὐχαριστοῦμέν σοι δέσποτα φιλάνθρωπε εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου, καὶ ἀθανάτων μυστηρίων. ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν. στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας. φρούρησον ἡμῶν τὴν ζωήν. ἀσφάλισαι ἡμῶν τὰ διαβήματα. εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων σου. Ὁ διάκονος ἐν τῷ συνήθει τόπῳ στὰς, λέγει. Ὀρθοὶ μεταλαβόντες τῶν θείων ἁγίων ἀχράντων ἀθανάτων ἐπουρανίων καὶ ζωοποιῶν μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ κυρίῳ. Ὁ χο. Κύριε ἐλέησον. Ὁ δια. Ἀντιλαβοῦ σῶσον ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. Ὁ χο. Κύριε ἐλέησον. Ὁ δια. Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα. Ὁ χο. Σοὶ κύριε. Ἐκφώνως ὁ ἱερεύς. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ, καὶ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Ὁ διάκονος. Ἐν εἰρήνῃ προέλθωμεν. ὁ χο. Ἐν ὀνόματι κυρίου. Ὁ διάκονος. Τοῦ κυρίου δεηθῶμεν. ὁ χο. Κύριε ἐλέησον δέσποτα εὐλόγησον. Εὐχὴ ὀπισθάμβωνος ἐκφωνουμένη παρὰ τοῦ ἱερέως ἔξω τοῦ βήματος.

Ὁ εὐλογῶν

diaconi: & diaconus suscipiens ipsam cum vene-ratione: respiciens extra versus ianuam nihil dicit. Procedit ad prothesim: & deponit ipsam. At sacerdos adorans: & capiens sanctum calicem: & conuersus uersus ianuam respicit populum dicens

Vbiq;: nunc: & semper: & in sæcula sæculorum chorus. Amen. Et protinus dicit secreto orationem.

GRati as agimus tibi domine beni gnissime benefactor animarũ nostrarum: quoniam & præsenti die dignos fecisti nos cœlestium: tuorum & mortalium myste-riorum: dirige nostrum iter: confirma nos in timore tuo omnes: custodi nostram vitam fac securos gressus nostros: precibus: & intercessione gloriosæ deiparę: & semper Virginis Mariæ: & omnium sanctorum tuorũ. Diaconus in consueto lo-co consistens: dicit. E recti cõmunicãtes diuinorũ: sanctorũ: ĩmaculatorũ: ĩmortaliũ: coelestiũ: & viuificãtium mysteriorũ: digne grãs agamus domino. Cho. Dñe miserere. Diaconus. Suscipe: salua: miserere: & conserua nos deus tua gratia. Chorus. Domine miserere. Diaconus. Diem: totum: perfectũ: sanctum: pacificum: & absq; reatu deprecantes: nos metipsos: & inuicem: ac omnem vitam nostram xp̃o: deo comit-tamus. Chorus. Tibi domine. Cum voce sacerdos Quoniã tu es sanctificatio nostra: & tibi gloriam da-mus: patri: & filio: & sancto spiritui: nunc: & semper: & in sæcula: sæculorum. Chorus. Amen. Diaconus. In pace procedamus. Chorus. In nomi-ne domini. Diaconus. Dñm deprecemur. Chorus. Dñe miserere dñe benedic. Oĩo post cõpleta missam cũ voce dicta a sacerdote extra tabernaculum.

Qui

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον. ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ, καὶ παντὶ τῷ λαῷ σου. ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων. καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ πατρὶ, καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χο. Ἀμήν. Καὶ ὁ χορὸς ψάλλει τρὶς τὸ

Εἴη τὸ ὄνομα κῡ εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Καὶ τὸν ψαλμόν.

Εὐλογήσω τὸν κν̄ ἐν παντὶ καιρῷ. διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. ἐν τῷ κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου. Ἀκουσάτωσαν πραεῖς, καὶ εὐφρανθήτωσαν. Μεγαλύνατε τὸν κν̄ σὺν ἐμοὶ, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό. Ἐξεζήτησα τὸν κν̄ καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με. Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ κσ̄ εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ, ἔσωσεν αὐτόν. Παρεμβαλεῖ ἄγγελος κῡ κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ κσ̄ μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν. Φοβήθητε τὸν κν̄ πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ

QVi benedicis benedicentes te domine : & sanctificas in te confidentes : salua populum tuum : & benedic hereditatem tuam : plenitudinem ecclesie tue custodi : sanctifica diligentes decorem domus tuæ : tu ipsos vicissim glorifica diuiua tua potentia : & ne derelinquas nos sperantes in te. Pacem mundo tuo tribue: ecclesiis tuis : sacerdotibus : regibus nostris : exercitui: & cuncto populo tuo: qm̄ oē datū optimū: & omne donū perfectū de sursum est: descendēs a te patre luminum: & tibi gloriā: & gratiarum actionē: & adorationem damus : patri : & filio : & sancto spiritui : nunc : & semper : & in sæcula sæculorum. Chorus. Amen. Et chorus cantat ter: hoc. Sit nomen domini benedictum: ex hoc nūc: & vsq; in sæculum. Et psalmum.

BEnedicam dominum in omni tempore : semper laus eius in ore meo. In domino laudabitur anima mea : audiant mansueti & letentur. Magnificate dominum mecum, & exaltemus nomen eius in idipsum. Exquisiui dominum & exaudiuit me: & ex omnibus tribulatiōibus meis eripuit me. Accedite ad eum & illuminamini: & facies vestre non confundentur. Iste pauper clamauit: & dominus exaudiuit eum: & de omnibus tribulationibus eius saluauit eum. Immittit angelus domini in circuitu timentium eum: & eripiet eos. Gustate & videte quoniam bonus est dn̄s: beatus vir qui sperat in eo. Timete dominum omnes sancti eius : quoniam non est inopia timentibus eum. Diuites eguerunt & esurierunt

σαν. οἱ δὲ ἐκζητοῦντες τὸν κν̄, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Δεῦτε τέκνα ἀκούσατέ μου· φόβον κῦ διδάξω ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν, ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. Πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν, ἐρρύσατο αὐτούς. Ἐγγὺς κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν, ῥύσεται αὐτοὺς ὁ κύριος. Φυλάσσει κς̄ πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται. Θάνατος ἁμαρτωλῶν πονηρός, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι. Λυτρώσεται κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

Εὐχὴ ἐν τῷ συστέλλαι τὰ ἅγια μυστικῶς.

Τὸ πλήρωμα τοῦ νόμου, καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων χε̄ ὁ θς̄ ἡμῶν, ὁ πληρώσας πᾶσαν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Μετὰ τὴν εὐχὴν ἐξέρχεται ὁ ἱερεὺς καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, δίδωσι τὸ ἀντίδωρον. Εἶτα ποιεῖ ἀπόλυσιν λέγων. Δόξα σοι χε̄ ὁ θς̄ ἡμῶν ἡ ἐλπὶς ἡμῶν δόξα σοι. Καὶ ὁ χο. Δόξα πρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ εἰ ἔστι κυριακή, λέγει ὁ ἱερεύς. Ὁ ἀναστὰς ἐκ νεκρῶν χς̄ ὁ ἀληθινὸς θς̄ ἡμῶν.

runt: inquirentes autem dominum: non minuentur omni bono. Venite filii audite me: timorẽ dñi docebo vos. Quis est homo qui vult vitam: diligit dies videre bonos. Prohibe linguam tuam a malo: & labia tua ne loquantur dolum. Diuerte a malo: & fac bonum: inquire pacem: & persequere eam. Oculi domini super iustos: & aures eius in preces eorum. Vultus autem domini sup facientes mala: vt perdat de terra memoriam eorum. Clamauerunt iusti & dominus exaudiuit eos: & ex omnibus tribulationibus eorum liberauit eos. Iuxta est dominus his qui tribulato sunt corde: & humiles spiritus saluabit. Multe tribulationes iustorum: & de omnibus his liberauit eos dominus. Custodit dñs omnia ossa eorum: vnum ex his non conteretur. Mors peccatorum pessima: & qui oderunt iustum delinquent. Redimet dominus animas seruorum suorum: & non delinquent omnes qui sperant in eo.

Oratio in contrahendis sacris rebus: secreto.

Plenitudo legis: & prophetarum: tu ipse existens xp̃e deus noster: qui compleuisti omne paternum mandatum: expleas gaudio: & hilaritate corda nostra: vbiq; : nunc: & semper: & in secula seculorum. Amen. Post orationem egreditur sacerdos: & stans in consueto loco dat remunerationẽ: de hinc facit absolutionẽ dicẽs. Gl'ia tibi xp̃e deus noster: spes nr̃a: gloria tibi. Et chor'. Gloria patri: & filio: & sancto spiritui nunc: & semper: & in secula seculorum. Amen. Et si est Dominicus dies: dicit sacerdos. Qui surrexisti a mortuis: christus ver' de' nr̃:

 Si non est

Εἰ δὲ οὐκ ἔστιν ἀναστάσιμος, λέγει. Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς, τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου. τῆς ἡμέρας.

Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς θεὸς καὶ φιλάνθρωπος. Καὶ εὐλογῶν τὸν λαὸν εἰσέρχεται. μετὰ δὲ τὴν ἀπόλυσιν, εἰ οὐκ ἔστι διάκονος, εἰσέρχεται ὁ ἱερεὺς εἰς τὴν πρόθεσιν, καὶ μεταλαμβάνει τὸ ὑπολειφθὲν ἐν τῷ ἁγίῳ ποτηρίῳ προσεχῶς καὶ εὐλαβῶς. καὶ ἀποπλύνει τὸ ἅγιον ποτήριον τρίς, καὶ ὁρᾷ μὴ μείνῃ τὸ λεγόμενον μαργαρίτης, τότε λέγει. Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου. ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. Καὶ συστέλλει τὰ ἅγια, τὸ ποτήριον τὸν δίσκον μετὰ τῶν καλυμμάτων, κατὰ τὸ ἔθος. Εἰ δὲ ἐστὶ διάκονος, ὁ αὐτὸς ποιεῖ. Ὁ δὲ ἱερεὺς ἀπέρχεται ἐν τῷ σκευοφυλακίῳ, καὶ ἐκδύει ἑαυτόν. λέγων. τρίς. Τὸ ἅγιος ὁ θεός. Καὶ τὸ παναγία τριάς. Καὶ τὸ πάτερ ἡμῶν. Τότε λέγει τὸ ἀπολυτίκιον τοῦ Χρυσοστόμου. Ἡ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο. τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξε. ἀλλὰ σοῖς λόγοις παιδεύων πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε Χριστῷ τῷ θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Μετέπειτα τὸ κοντάκιον.

Ἐκ τῶν οὐρανῶν ἐδέξω τὴν θείαν χάριν, καὶ διὰ τῶν σῶν χειλέων πάντας ἐκδιδάσκεις προσκυνεῖν ἐν Τριάδι τὸν ἕνα θεὸν Ἰωάννη Χρυσόστομε παμμακάριστε ὅσιε, ἐπαξίως εὐφη

Si non est resurrectionis: dicit. Christus verus deus noster: precibus intemeratæ eius matris. Potentia prætiosæ: & viuificæ crucis: sanctorum: gloriosorum: & benedictorum apostolorum:

Sancti dici.

Sanctorum: & iustorum deorum parentũ Ioachim: & Annæ: & omnium sanctorũ misereatur nri & saluet nos, ut bonus deus: & clemens. Et benedicens populum ingreditur. Post vero absolutionẽ: Si nõ est diaconus: igreditur Sacerdos in prothesim, & accipit quod residuum est in sancto calice: attente: & cũ veneratione & abluit sanctum calicem: ter: & inspicit ne supersit quod ap pella tur. margantis. Tunc dicit. Nũc dimittis seruum tuum domine: secũdũ verbum tuum in pace. Quia viderunt oculi mei salutare tuũ. Quod parasti ante faciem omnium populorũ. Lumen ad reuelationem gentiũ: & gloriã plebis tuæ israel. Et colligit sanctas res calicem: patenam: cum velaminibus: secundum morem. Si vero est diaconus. Ipse facit. At sacerdos recedit ad vasorum repositorium: & exuit se ipsum: dicẽs: ter hoc Sãctus deus. Et hoc: Sãctissima trinitas: Et: Pater noster. Tunc dicit absolutorium Chrysostomi. Oris tui quemadmodum flamma refulgens gratia: orbem terrarum illuminauit. auaritia exptes mundo Thesauros iposuit: altitudinẽ nobis humilitatis ostendit. At tuis orationibus erudiens pater Ioannes: Chrysostome: ora xp̃m: deũ: Saluari animas nostras. Postea contacium.


De cœlis accepisti diuinam gratiam & per tua labia omnes instruis adorare in trinitate vnum deum: Ioannes Chrysostome beatissime: iuste: condigne bene-

ἐπαξίως εὐφημοῦμέν σε, ὑπάρχεις γὰρ καθηγητὴς ὡς τὰ θεῖα σαφῶν. Ἢ λέγει τῆς ἡμέρας. ἢ τὸ ἀναστάσιμον εἰ ἔστι κυριακή. Καὶ τὴν ἀπόλυσιν ὡς ἔθος μυστικῶς τότε ἐξέρχεται εἰς τὰς θύρας τοῦ ἁγίου βήματος, ἐνδεδυμένος τὸ ἱμάτιον αὐτοῦ τὸ ἱερατικὸν, καὶ προσκυνεῖ, λέγων. Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Καὶ ἐπιστραφεὶς πρὸς τὸν λαὸν, εὐλογεῖ λέγων ἐκφώνως. Φυλάξαι κύριος ὁ θεὸς πάντας ὑμᾶς τῇ αὐτοῦ χάριτι, καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων. Ἀμήν. Ὁ δὲ λαὸς κλίναντες τὰς κεφαλὰς πάντες, λέγουσι Τὸν εὐλογοῦντα, καὶ ἁγιάζοντα ἡμᾶς κύριε φύλαττε εἰς ἔτη πολλά. Καὶ ἀπέρχονται ἐν εἰρήνῃ σὺν θεῷ ἁγίῳ.

Τέλος τῆς θείας ἱερουργίας τοῦ χρυσοστόμου.

Errores impreſſorum recogniti.

In ſecūda ſemipagina:prima orone.valeā:ſupuacuū. In tertia ἀσπαζάμενοι pro ἀσπασάμενος. In.12. vellat: pro velat. In.14.bis vella: pro vela. In.16.a pro ac. In.24.ingreſſu:pro ingreſſum. In.26.roparia:pro tro paria.In eadē peuen erit:ꝑ peruenerit.In.28.non ente pro ex non ente. In.36.fidelium:pro fidelibus:& ha-bitantiū:pro habitantibus. In.46.ad.pro a. In.50.a pro ad. In eadem ſpiritus:pro & ſpūs. In.54.depo-ſinit:pro deponit. In.58.&: pro ut &. In.60.dñs:ꝑ deus. In.66.abſumit:pro abſumitur. In.72.attollem pro attollens.



condigne bñdicimus tibi: es quidem pceptor: vtpote di uina manifestans Aut dicit diei: aut resurrectionis: Si est dñicus dies: & absolutioné vt moris est secreto. Tum egreditur ad hostium sancti tabernaculi: indu/tus vestimento suo sacerdotali: & adorat. dicés: hoc: De' ppiti' esto mihi peccatori. Et côuersus ad populum: benedicit dicens cum voce. Custodiat dominus deus omnes vos: sua gratia: & pie/tate: vbiq3 nunc: & semper: & in saecula saeculorum. Amen. At populus: inclinantes capita. omnes dicunt. Benedicenté: & sanctificanté nos dñe conserua in annos multos. Et recedit in pace cum deo sancto. Finis.

Venetiis per Ioãnem Antonium & Fratres de Sabio
sumptu & expensis D. Demetrii Zini Zacyn/
thii: & D. Menandri Nuntii Corcyraei
sociis. M D X X V I I I.
Mense Augusti.

¶Notes studiose lector singulas quasq; huius totius operis semipaginas arithmeticis numeris: & cum in vocabula: quæ in latinis græce expressa sunt incideris: ita eorum explicationem percipere ex hac annotatione facile queas.

In semipagina secunda est: horarium: hoc intelliges stolam quam diaconus gestat.

In quarta reperies: prothesim: hoc altariolum innuit qđ alæua altaris est: ĩ eo sacerdos pparat sacra.

In xxvii. typica: sunt enim psalmi quos vicissim vterq; chorus dicit qui sunt: C I I. hoc est: Benedic anima mea dominum: & omnia quæ intra me sunt nomini sancto eius: & psalmus CXLV. hoc est: Lauda anima mea dominum: etcetera.

In XXIIII: Tritectus cantus est: Tertius videlicet & sextus cantus ex nouem quos in officio diurno dicunt: in missa autem inserunt ex illis nouem: tertium: & sextum.

In XXVI troparium: hoc intelliges versum innui qui præsertim memoriam agit sancti cuius illa die festum recolitur.

In eadem: hymnũ trisagium: hoc enim est: quod ait: Sanctus deus: Sanctus fortis: Sanctus & immortalis: miserere nobis.

In XXXIX Antidoron: siue remuneratio: appellatur panis ex quo cõsecranda hostia extrahitur hũc frustratim icisũ sacerdos post missã populo diuidit.

In octuagesima Margaritis: est: hoc nomine fragmẽta: siue micas dicunt: quæ a consecratione ex sacramento: Calici: seu patenæ adherere solent.

In eadem contacium est: sic versum similem tropario dicunt. Finis.



